book 39.1 πόλλ', ὃς ἂν οὐδέ ποτε Τροίης ἐξήρατ' Ὀδυσσεύς,
book 39.2 εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληίδος αἶσαν.
book 39.3 ) Τροίης δισυλλάβως, ἵνα τὴν χώραν ἀκούσωμεν P.
book 39.4 cf. λ 510. A 129. Alii: Τροίης ἀπὸ ληίδος. Fluxisse vi-
book 39.5.1 detur ex Ar., qui A 129 observavit, Troiam urbem apud Ho-
book 39.5.2 merum δισυλλάβως legi Τροίην, adiectivum contra Τροΐην τρι-
book 39 συλλάβως de urbe aliqua Troiana.
book 44-46.1 αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
book 44-46.2 ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
book 44-46.3 ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο.
book 44-46.4 *) [τούτοις τοῖς στίχοις παράκεινται ἀστερίσκοι ὅτι] μετά-
book 44-46.5.1 κεινται οὐ δεόντως ἐντεῦθεν εἰς τὰ περὶ τῆς Ἀθηνᾶς ἐν α'
book 44-46.5.2 λεγόμενα· (96—98) καὶ εἰς τὰ περὶ Ἑρμοῦ, ἡνίκα ἀπ' Ὀλύμ-
book 44-46.5.3 που εἰς τὴν Τροίαν κάτεισιν (Ω 341/2) HPQ.
book 50.1 Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ.
book 50.2 ) ἀναγκαῖον τὸ ἔπος, ὅτι ὄρος Ὄλυμπος θεῶν οἰκητήριον
book 50.3 κατὰ τὸν ποιητήν. HP.
book 50.4 cf. F. Ar. Ξ 226. L. Ar. 166. ad v. 55.
book 50.5.1 Pieriam enim, Olympi cacumen, transcendunt dii apud Ho-
book 50.5.2 merum, iter facientes ex Olympo in terram.
book 54,n1.1 τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς.
book 54,n1.2 προσέθηκέ τις οὐ δεόντως τὸν στίχον. HPQ. Eust. 1522, 62:
book 54,n1.3 παρένθετον οἴονταί τινες (an Ar.?) τὸν στίχον καὶ ὀβελίζουσιν ἤτοι
book 54,n1.4 ἀθετοῦσιν.
book 55.1 ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν.
book 55.2 *)[ἡ διπλῆ] πρὸς τὰ περὶ τῆς πλάνης, ὅτι πόῤῥω που ἐν
book 55.3 ἐκτετοπισμένοις τόποις ἀορίστοις. φησὶ γοῦν τηλόθι που τὴν
book 55.4 νῆσον εἶναι. καὶ πρὸς τὰ περὶ Ὀλύμπου σεσημείωται· εἰ γὰρ
book 55.5.1 μὴ ἀπὸ Μακεδονίας ὁ θεὸς ἐξορμᾷ, ἀλλ' ἄνωθεν ἐξ οὐρανοῦ,
book 55.5.2 οὐκ ἂν πολλὴν ἐπῆλθεν, ἕως εἰς τὴν νῆσον παραγένηται, ἀλλ'
book 55.5.3 εὐθὺς βουληθεὶς κατὰ κάθετον γενόμενος PQ. —„ut Minerva
book 55.5.4 T 530“. L. —cf. L. Ar. 166. 247. δ 556 et locos ibi collatos.
book 69.1 ἡμερὶς ἡβώωσα.
book 69.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Notatum fuit vocabulum ἡμερίς ἅπαξ εἰρημένον v. schol.
book 69.3 EPQ: τὴν ἄμπελον εἶπεν· ἅπαξ δὲ ἐνταῦθα τὸ ὄνομα. Eust.
book 69.4 1524, 25 habet: ἐν δὲ ὑπομνήμασι παλαιοῖς τοῖς εἰς τὸ Ξ τῆς
book 69.5.1 Ἰλιάδος (an Ar.?) εἶδος λεπτοφλοίου δρυὸς ἡ ἡμερὶς λέγεται.
book 69.5.2 Apoll. l. h. 84, 1 ut in scholio nostro interpretatur.
book 84.1 πόντον ἐπ’ ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.
book 84.2 *) ὁ στίχος οὗτος περιττός· ὁ γὰρ προκείμενος ἀρκεῖ. HP.
book 84.3 cf. ad v. 158 et PQ ad v. 82.
book 97-98.1 εἰρωτᾷς μ’ ἐλθόντα θεὰ θέον· αὐτὰρ ἐγώ τοι
book 97-98.2 νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
book 97-98.3 *) [ἀθετοῦνται οἱ στίχοι ὅτι] εὐτελεῖς κατὰ τὴν σύνθεσιν
book 97-98.4 καὶ κατὰ τὴν διάνοιαν HP.
book 97-98.5.1 Porsonus, Buttmannus, Dindorfius hoc scholion, quod in P
book 97-98.5.2 scriptum est interiore margine incipiens ob angustiam a v. 96
book 97-98.5.3 et desinens proxime ante 98, pertinere ad v. 94. 95. coniece-
book 97-98.5.4 runt. Ego retinui scholii locum secutus Eust. 1525, 31: εἴπο-
book 97-98.5.5 μεν δὲ ἀφελῶς, ἀκολούθως τοῖς παλαιοῖς, οἵ φασιν ὅτι εὐτελεῖς
book 97-98.10.1 οἱ δύο στίχοι—97. 98—οὗτοι καὶ κατὰ συνθήκην καὶ κατὰ
book 97-98.10.2 διάνοιαν.
book 100.1 τίς δ’ ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
book 100.2 ἄσπετον, οὐδέ τις ἄγχι βροτῶν πόλις ..
book 100.3 *) σαφῶς ἐδήλωσεν Ὅμηρος, ὅτι ἔξω τῆς καθ’ ἡμᾶς θα-
book 100.4 λάσσης ἡ τῆς Καλυψοῦς νῆσος τυγχάνει [διὸ ἡ διπλῆ]. BEPQT.
book 100.5 cf. L. Ar. 247. Eust. 1525, 64. δ 556 et locos, quos ibi contuli.
book 105-11 .1 φησί τοι ἄνδρα παρεῖναι ὀιζυρώτατον ἄλλων
book 105-11 .2 τῶν ἀνδρῶν, οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
book 105-11 .3 εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
book 105-11 .4 οἴκαδ’. ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
book 105-11 .5.1 ἥ σφιν ἐπῶρς’ ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
book 105-11 .5.2 ἔνθ’ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
book 105-11 .5.3 τὸν δ’ ἄρα δεῦρ’ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
book 105-11 .5.4 *) περιττοὶ οἱ στίχοι καὶ πρὸς τὴν ἱστορίαν μαχόμενοι.
book 105-11 .5.5 οὐ γὰρ καθ’ ὃν καιρὸν ὑπὸ τῆς Ἀθηνᾶς ὁ ἄνεμος ἐκινήθη καὶ
book 105-11 .10.1 οἱ ἄλλοι ἀπώλοντο, Ὀδυσσεὺς τῇ νήσῳ προσηνέχθη· οἱ δὲ τε-
book 105-11 .10.2 λευταῖοι δύο ἐκ τῶν μετὰ ταῦτά (133—134) εἰσι μετενηνεγ-
book 105-11 .10.3 μένοι PQ.
book 105-11 Numeros 105—111 Maius posuit, Buttmannus probavit.
book 124-5,n2.1 Ἄρτεμις ἁγνὴ
book 124-5,n2.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν.

οὐδέποτε παρ' Ὁμήρῳ ἡ Ἄρτεμις ἄῤῥενας φονεύει· διό τινες ἀθετοῦσι τοὺς στίχους HPQ. cf. Eust. 1527, 47. An Aristarchus in horum numero fuit?

περὶ τρόπιος βεβαῶτα.

ὅτι (καὶ) γενικὴ ἀντὶ δοτικῆς, ἀντὶ τοῦ περιβεβηκότα τῇ τρόπιδι. BEPQT.

Fluxit fortasse ex Ar. cf. F. Ar. p. 21.

Ζεὺς ἔλσας (κεραυνῷ).

) Ζηνόδοτος ἐλάσας γράφει. οἱ δὲ (certe Ar.) ἔλσας, ποιητικώτερον γάρ. ἔλσας μὲν τὸ συστρέψας, ἐλάσας δὲ τὸ ἐκ χειρὸς πλήξας. HPQ. cf. L. Ar. 65. η 250.

Versibus 133—134 fuit appictus asteriscus cf. 105—111.

ἑταῖροι.

*) ὅτι ἐπὶ τῶν συμπλεόντων τίθησι τὸ (cod. τοὺς) ἑταίρους πολλάκις PQ. L. Ar. 116.

πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.

*) [ὁ ἀστερίσκος ὅτι] ἐντεῦθεν εἰς τὸ ὀλίγον ἀνωτέρω (84) μετάκειται ὁ στίχος H.

αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρόν ἐνθήσω, μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι.

*) ὅτι καὶ ἐπὶ δίψης ὁ λιμός P.

ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσς' ἂν ἐμοί περ αὐτῇ μηδοίμην.

*) [ἡ διπλῆ ὅτι] ὁ περ παρέλκει PQ.

cf. F. Ar. 34. ρ 47.

τοῖς (Odysseus et Calypso) ἄρα μύθων ἦρχε.

*) ὅτι ἑνὸς πρὸς ἕνα διαλεγομένου φησὶ „τοῖς ἄρα μύθων ἦρχεν" P. cf. P 628. Φ 287. η 47.

σὺ δὲ χαῖρε καὶ ἔμπης.

) τὸ ἔμπης, ὃ καὶ ἔμπα λέγεται, ἐν τούτῳ τῷ τόπῳ ὅμως σημαίνει, ποτὲ δὲ ὁμοίως καὶ ἐπίσης, ὡς τὸ „ἔμπης εἰς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή" (Ξ 174). MS Barnes. cf. L. Ar. 142 Apoll. l. h. 67, 24. ς 354. τ 37. BL ad Ξ 1.

περίκηλα.

) Ἀρίσταρχος ὥσπερ ξηρὰ ἐκδεχόμενος, τὰ περικεκαυμένα ὑπὸ ἡλίου P.

Chrysippus περὶ κῆλα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴκοσι δ’ ἔκβαλε πάντα.

*) [ἡ διπλῆ ὅτι] παρέλκει τὸ πάντα, ὡς ἐν τῷ „τριχθὰ δὲ πάντα δέδασται“ (Ο 189) PQ.

cf. ad Ο 189. Σ 373. Ω 232. θ 258.

τέτρηνεν δ’ ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισιν
γόμφοισιν δ’ ἄρα τήν γε καὶ ἁρμονιῇσιν ἄρασσεν.

) Ἀριστοφάνης τὸ αὐτὸ ᾤετο περιέχειν ἄμφω. διὸ τῷ μὲν σίγμα, τῷ δὲ ἀντίσιγμα ἐπιτίθησιν BPQ. Vind. ὁ δὲ Ἀρίσταρχός φησι διὰ τοῦ πρώτου τὸ μὲν τέλειον τῆς ἁρμογῆς μὴ εἶναι, ἀλλ’, ὡς ἄν τις εἴποι, ἁρμόζοντα κατεσκεύασε, καὶ πρὸς ἄλληλα συγκαταγαγὼν ἐσκέψατο εἰ ἁρμόζει ἀλλήλοις· τῷ δὲ ἑξῆς συνέκλεισε καὶ κατεγόμφωσε. διὰ γὰρ τοῦ ἄρασσε τὸ τέλος τῆς ἁρμογῆς παρέστησε BHMPQT. cf. L. Ar. 342.

ἀραρὼν θαμέσι σταμίνεσσι.

Quod habent cod. BEHQV ad interpretationem vocabuli σταμίνες: τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πηδάλια πήσσεται Aristarchi est cf. Etym. M. 724. Nitzsch: Anmerkungen zur Odyssee II, 39. Eust. 1533, 27.

ἄρκτον θ’, ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ’ αὐτοῦ στρέφεται καί τ’ Ὠρίωνα δοκεύει.

*) ὅτι καὶ ἐν Ἰλιάδι (Σ 487—89) τὰ αὐτὰ περὶ τῆς Ἄρκτου καὶ τῶν ἄλλων ἀστέρων φησίν. P.

ποντοπορευέμεναι ἐπ’ ἀριστερὰ χειρὸς ἔχοντα.

*) [ἡ διπλῆ] πρὸς τὸ περὶ τῆς πλάνης, ὅτι ὡς ἀπὸ τῶν περὶ τὸ Ἀτλαντικὸν πέλαγος φέρεται ἐπ’ ἀνατολάς H.

cf. L. Ar. 244. δ 556 et exempla ibid. Eust. 1536, 5.

εἴσατο δ’ ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.

Fuit interpretatio vocabuli ῥινόν, pro quo scholiastae in PQT Aristarchum legisse ἐρινόν dicunt: ὁ Ἀρίσταρχος ἐρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους, ὡς ὁ δίφρος τὸ δίφρον. Sed huic lectioni ἐρινόν repugnat Aristonicus, qui Θ 532: εἴσατο δ’ ὡς ὅτε ῥινεός, M 118 et N 45 autem ῥινόν legit. Iam vides etiam in Venet. A variam fuisse lectionem. Eust. 1536, 13 habet: Ἀρίσταρχος δὲ ἐρινὸν γράφει αὐτὴν τὴν συκῆν, ἵνα φαίνηται τηλόθεν ἡ νῆσος, ὡσεὶ καὶ τοιαύτη τις συκῆ.

εἴσατο. Ar. notavit Θ 552, M 118, N 45 ὅτι πολλὰ σημαίνει et nostro loco quidem ἀντὶ τοῦ ἐφάνη. Similia habent schol. EPQT.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀρώρει δ’ οὐρανόθεν νύξ.

οὐκ εἶπε ὀρώρει Ὀλυμπόθεν HT.

Fluxit fortasse ex Ar. adnotatione pertinente πρὸς τὰ περὶ Ὀλύμπου cf. L. Ar. 166—ι 69.

ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέῤῥιψαν περὶ Πηλείωνι θανόντι.

Quod legitur in BPQ recentiorum est, qui fingunt, Achilli necati corpus ab Ajace ex proelio ablatum esse Ulixe tegente. Quod illi finxerunt ad similitudinem Iliadis P 719. Ar. contra hos observavit, Homerum, si de Achilli caede cecinisset, vix ita instituisse. cf. L. Ar. 175.

λευγαλέῳ θανάτῳ.

*) ὅτι λευγαλέον θάνατον οἱ γλωσσογράφοι ἀποδεδώκασι τὸν ἐν ὑγρῷ, ἐκ τε τούτων καὶ ἐκ τῶν ὑπ’ Ἀχιλλέως ἐν τῇ πρὸς τὸν ποταμὸν μάχῃ λεγομένων. ἄμεινον δὲ ὀλέθριον, παρὰ τὸν λοιγόν Q.

cf. L. Ar. 106. β 61. Ap. l. h. 107, 23.

αἰθυίῃ δ’ εἰκυῖα ποτῇ ἀνεδύσετο λίμνης.

) οὐκ ἐφέρετο ἐν τοῖς πλείοσι. Ἀρίσταρχος δὲ περὶ μὲν τῆς ἀθετήσεως διστάζει, γράφει δὲ διὰ τοῦ υ ὑπεδύσατο, ἐν δέ τισιν ἀνεδύσατο· ἔοικε δὲ ὁ στίχος ἐκ τῶν ὕστερον (352) εἰρημένων ὑπό τινος παρεμβεβλῆσθαι „αὐτὴ δ’ ἂψ ἐς πόντον ἐδύσατο κυμαίνοντα αἰθυίῃ εἰκυῖα“. HPQ. Fluxit ex Didymo et Aristonico, cuius verba in altera scholii parte ἔοικε—εἰκυῖα servata videntur esse. cf. L. Ar. 347.

οὐ μὲν δή σε καθαφθίσει, μάλα περ μενεαίνων·
ἀλλὰ μάλ’ ὧδ’ ἔρξαι.

*) [ἡ διπλῆ ὅτι τὸ μενεαίνων ἀντὶ τοῦ] προθυμούμενος· σημαίνει γὰρ ἑκάτερον ἡ λέξις· τὸ δὲ ὧδ’ ἔρξαι ἀντὶ τοῦ οὕτως ἔρδε, (H) ἀπαρέμφατον ἀντὶ προστακτικοῦ V.

cf. Π 491. Apoll. l. h. 111, 9.

τόδε κρήδεμνον τανύσσαι.

) τὸ τανύσσαι ἀπαρέμφατον διὰ τὸ βαλέειν P.

cf. Herodianum ad O 159.

ἂψ ἀπολυσάμενος βαλέειν εἰς οἴνοπα πόντον.

*) [ἡ διπλῆ ὅτι] πάλιν τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν χρῆται. HPQ.

κέληθ’ ὡς ἵππον ἐλαύνων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

*) [ἡ διπλῆ ὅτι] οἶδε μὲν ὁ ποιητὴς τὸν κέλητα, οὐκ εἰσάγει δὲ τοὺς ἥρωας αὐτῷ χρωμένους, εἰ μὴ ἐξ ἀνάγκης ἐν τῇ Δολωνείᾳ τὸν Διομήδην PQT.

cf. O 679. Eust. 1539, 31.

καὶ τότ’ ἔπειτ’ ἄνεμος μὲν ἐπαύσατο· ἡ δὲ γαλήνη.

) Ἀρίσταρχος ἡ δὲ, ἄρθρον δεχόμενος τὸ η· οἱ δὲ ἀντὶ τοῦ καὶ Η.

Scholion Didymi est, sed certe Ar. posuit diplam ὅτι ἐξ ἐπαναλήψεως τὰ ἄρθρα λαμβάνει. cf. ad O 127 et Herod. ibid.

ἀλλ’ ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας.

) τὸ (δὲ) ἐγεγώνει ἀντὶ τοῦ εἰς ἀκοὰς ἐγένετο βοήσας τις B. ὥστε ἐξακουστὸν γενέσθαι βοήσαντά τινα EV.

Fluxisse videtur ex Ar., qui ad Θ 223 diplam posuit πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐστι φωνεῖν, ἀλλ’ ἀκουστὸν φθέγγεσθαι cf. ρ 161. L. Ar. 100.

εἰ δέ κ’ ἔτι προτέρω παρανήξομαι.

*) [ἡ διπλῆ ὅτι τὸ προτέρω] ἀντὶ τοῦ εἴ που ἔμπροσθεν· καὶ περισσὸς ὁ κέ. PT.

cf. K 469. δ 36. F. Ar. p. 8.

κλυτὸς Ἀμφιτρίτη.

*) ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὡς τὸ „κλυτὸς Ἱπποδάμεια“ ἀντὶ τοῦ κλυτή. καὶ ὅτι ἐν θαλάττῃ ὢν λέγει ἐξ ἁλός. HPQE.

cf. δ 442.

παλιρρόθιον.

) παλινόρμητον, εἰς τοὐπίσω φερόμενον V. cf. L. Ar. 91. cf. ε 27. ν 5.

τὸν δ’ ἐσάωσεν || ἐς ποταμοῦ προχοάς.

*) ἀντὶ ἀντωνυμίας τὸ ὄνομα· οὐ γὰρ εἶπεν εἰς τὰς ἑαυτοῦ προχοάς· ἡ διπλῆ οὖν παράκειται πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον. BEPQ. cf. BL ad Ξ 454.

κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο.

Fuit diple periestigmene, quod Zenodotus legit ἀπὸ ἑοῦ cf. HP ubi sic corrigendum est. cf. ad B 239. T 384. Y 261 η 217.

μή μ’ ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση.

*) [ἡ διπλῆ ὅτι] οὐκ εἶπε θήλεια, ἀλλὰ θῆλυς ἀρσενικῶς, ὡς ποιητικώτερον BQ. cf. ad ν 422.

ἐξ ὁμόθεν πεφυῶτας ὁ μὲν φυλίης, ὁ δ’ ἐλαίης.

*) [ἡ διπλῆ ὅτι] πλεονάζει ἡ ἐξ πρόθεσις. P. cf. F. Ar.
book 477.3 27. Θ 19.
book 477.4 ) τὸ σχῆμα ἀντίπτωσις, ἵν’ ᾖ, τὸν μὲν φυλίης, τὸν δ’
book 477.5.1 ἐλαίης. ἢ στικτέον μετὰ τὸ πεφυῶτας, ἵνα ἐν τοῖς ἑξῆς λείπῃ
book 477.5.2 τὸ ἦν ῥῆμα, ὁ μὲν φυλίης ἦν, ὁ δὲ ἐλαίης PQ.
book 477.5.3 Fluxisse potest ex Aristonico aut ex Nicanore, ad quem
book 477.5.4 alteram scholii partem malim referre. cf. Eust. 1547 et scholia
book 477 ad E 245.
book 1.1 ὣς ὁ μὲν ἔνθα καθεῦδε.
book 1.2 *) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος [γράφει] ἐκά-
book 1.3 θευδε HP (cod. καθεῦδε, sed corrigendum est). cf. ad γ 402.
book 1.4 A 68. 611. O 716. Duentzer 60.
book 8.1 εἷσεν δὲ Σχερίῃ.
book 8.2 *) ὅτι Σχερία ὠνομάσθη ἡ τῶν Φαιάκων γῆ καὶ οὐ Κέρ-
book 8.3 κυρα, καὶ ὅτι ἔξω τῆς καθ’ ἡμᾶς οἰκουμένης. EPQ. cf. L. Ar.
book 8.4 244. ζ 204.
book 26.1 εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα.
book 26.2 ) τὰ φύσει λαμπρὰ (suppl. οὐ τὰ τότε λαμπρά). E. cf.
book 26.3 L. Ar. 199. Apoll. l. h. 161, 20. ζ 58. 74.
book 26.4 Adnotare solebat Ar. haec epitheta apud Homerum nomi-
book 26.5.1 nibus quasi propria et ita firmiter adhaerentia, ut ne tum qui-
book 26.5.2 dem divelli possint, si significatio eorum ab aliquo loco vel
book 26.5.3 tempore aliena sit. cf. Fr. ad Γ 352 et exempla ibid.
book 33.1 ὄφρα τάχιστα || ἐντύνεαι.
book 33.2 ) ἀντὶ ὑποτακτικοῦ τοῦ ἐντύνηαι, ὡς καὶ ἐπὶ τοῦ „ἐπεὶ
book 33.3 ἄρ’ κεν ἀμείψεται ἕρκος ὀδόντων“ (I 409) καὶ „ὄφρα καὶ ἄλ-
book 33.4 λος πτωχὸς ἀλεύεται ἠπεροπεύειν“ (ξ 400) P.
book 33.5.1 Verba non sunt Ar., nam nunquam his modorum nomini-
book 33.5.2 bus: ὁριστικὴ, ὑποτακτικὴ, εὐκτική usus est, cf. F. Ar. p. 7,
book 33.5.3 sed observationem Ar. esse puto. v. ζ 259.
book 37.1 ἐφοπλίσαι, ἥ κεν ἄγῃσιν.
book 37.2 *) [ἡ διπλῆ ὅτι τὸ ἄγῃσιν] ἀντὶ τοῦ ἄγοι P.
book 37.3 cf. F. Ar. 9. α 396. δ 692. ρ 385.
book 38.1 ζῶστρά τε καὶ πέπλους.
book 38.2 Notatum fuit vocabulum ζῶστρα ἅπαξ εἰρημένον. cf. schol.
book 38.3 PQT.
book 42.1 Οὔλυμπὸν δ’, ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ.
book 42.2 *) [ἡ διπλῆ ὅτι] εἰ μὲν πρὸς τὸν οὐρανὸν τὸ ὅθι φασὶ,
book 42.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νῦν (cod. Vind. 133 habet: νοεῖν, quod Karajan l. c. p. 299
book 42.4 praefert) οὐκ ἔχει καλῶς. οὐδὲ γὰρ ἐπὶ τούτου διστάζει [διστά-
book 42.5.1 σειεν ἄν L.] ὁ ποιητὴς λέγων, ὅθι φασίν· εἰ δὲ πρὸς τὸ κα-
book 42.5.2 λούμενον οὕτως ὄρος, καλόν. EQ. cf. L. Ar. 166.
book 44.1 οὔτε χιὼν ἐπιπίλναται.
book 44.2 ) ἀχιόνιστον μὲν αὐτὸν ἀπὸ τῶν ἀνωτέρω μερῶν λέγει,
book 44.3 ἀγάννιφον δὲ ἀπὸ τῶν κατωτέρω, τὸν μετὰ τὰ νέφη τόπον.
book 44.4 BHPQT.
book 44.5.1 Sic explicuisse Aristarchum Lehrsio non dubium est. cf.
book 44.5.2 Ar. p. 165. ADL ad A 420.
book 45.1 πέπταται ἀνέφελος.
book 45.2 ) νεφελῶν χωρίς· ἡ γὰρ κορυφὴ ἡ τοῦ Ὀλύμπου ἐπου-
book 45.3 ράνιος καλεῖται. ὁ δὲ οὐρανὸς ὑφ' Ὁμήρου ἀπὸ τῶν νεφελῶν
book 45.4 ἑὼς τοῦ κατηστερισμένου τόπου συνωνύμως αὐτῷ τῷ κατη-
book 45.5.1 στερισμένῳ καλεῖται. EPQV.
book 45.5.2 cf. L. Ar. 166. A 497.
book 50.1 βῆ δ' ἴμεναι διὰ δώμαθ'.
book 50.2 *) [ἡ διπλῆ ὅτι τὸ διὰ δώματα] ἀντὶ τοῦ διὰ δωμάτων. H.
book 50.3 cf. F. Ar. 21. Editiones habent κατὰ δώμαθ', quod est in
book 50.4 domo. ABDFHIKLM διὰ, ex ras. NPS, κατὰ CGQRV.
book 52.1 ἡ μὲν ἐπ' ἐσχάρῃ.
book 52.2 *) [ἡ διπλῆ ὅτι ἀντὶ τῆς παρὰ, ἵν' ᾖ] παρὰ τῇ ἐσχάρᾳ V.
book 52.3 cf. Z 92. ζ 305. η 153.
book 54,n1.1 ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας.
book 54,n1.2 Notata fuisse videtur praepositio μετὰ pro πρὸς cf. schol. QT:
book 54,n1.3 ἐρχομένῳ πρὸς τοὺς κλειτοὺς βασιλῆας. E habet: τὸ μετὰ ἀντὶ τοῦ
book 54,n1.4 εἰς, quod, si ex Ar. fluxit, corrigendum est in πρός v. L. qu. ep. p. 88.
book 54,n1.5.1 Et adiunxit fortasse ὅτι βασιλεῖς καὶ τοὺς κατὰ μέρος ἄρχοντας λέγει.
book 54,n1.5.2 cf. θ 49. 390.
book 57.1 πάππα φίλ'.
book 57.2 ) πάτερ. ψελλιζομένη ἐστί τις φωνή, προσφώνησις φιλο-
book 57.3 φρονητικὴ νεωτέρου πρὸς πρεσβύτερον. EP. cf. Δ 411. I 607.
book 57.4 L. Ar. 152.
book 58.1 ἵνα κλυτὰ εἵματ' ἄγωμαι.
book 58.2 ) οὐ τὰ τότε, ἀλλὰ τὰ φύσει. ὡς ἐπὶ τοῦ „φαεινὴν ἀμφὶ
book 58.3 σελήνην“ (Θ 551) οὐ τὴν τότε, ἀλλὰ τὴν φύσει. καὶ ἐπὶ τοῦ
book 58.4 „πλήθει δή μοι νεκύων ἐρατεινὰ ῥεέθρα“ (Φ 218). E.
book 58.5 cf. ζ 26. 74. Fuit Ar. διπλῆ ὅτι ἄκαιρον τὸ ἐπίθετον.
book 60,n2.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ δέ σοι αὐτῷ ἔοικε .. ἐόντα

book 60,n2.2 ... εἵματ’ ἔχοντα

book 60,n2.3 σοὶ ἐόντα, ἀντίπτωσις h. Fluxit fortasse ex Ar. cf. Eust. 1551, 60.

book 74.1 ἐσθῆτα φαεινήν.

book 74.2 ) οὐ τὴν τότε οὖσαν φαεινήν· ῥερύπωται γάρ· ἀλλὰ τὴν

book 74.3 φύσει καθαράν. EHPV. cf. ζ 58. 26. Φ 218.

book 76.1 μήτηρ δ’ ἐν κίστῃ.

book 76.2 ) ἅπαξ ἐνταῦθα ἡ κίστη. PQV. Apoll. l. h. 99, 24.

book 83.1 αἱ δ’ ἄμοτον τανύοντο.

book 83.2 *) [ἡ διπλῆ ὅτι] ἐκ τοῦ παρακολουθοῦντος [τὸ] ἔτρεχον,

book 83.3 ὡς ἐκεῖ „οἱ δὲ πανημέριοι σεῖον ζυγόν“ (γ 486) BP.

book 83.4 cf. γ 486 et locos ibi collatos.

book 86.1 ἔνθ’ ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ’ ὕδωρ

book 86.2 καλὸν ὑπεκπρορέει.

book 86.3 *) σημειωτέον τὴν ἐναλλαγὴν τῶν χρόνων, οὗ μὲν ἦσαν,

book 86.4 οὗ δὲ ῥέει. πρὸς ὃ ἡ διπλῆ. P.

book 98 εἵματα δ’ ἠελίοιο μένον τερσήμεναι αὐγῇ.

book 98.1 *) ὅτι καὶ [ἐν Ἰλιάδι?] τὰ τοιαῦτα τηρεῖ, τὸ μὲν γὰρ ἐν

book 98.2 ἡλίῳ ξηρᾶναι τερσῆναι λέγει, τὸ δὲ ἐν ἀνέμῳ ψῦξαι „τοὶ δ’

book 98.3 ἱδρῶ ἀπεψύχοντο χιτώνων“ (Λ 621) P.

book 98.5 cf. ad Λ 621. L. Ar. 127.

book 101.1 τῇσι δὲ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς.

book 101.2 *) [ἡ διπλῆ ὅτι] μεταβαλὼν (vel potius μεταλαβὼν L.) τὸ

book 101.3 „σφαίρῃ ταὶ δ’ ἄρ’ ἔπαιζον“ (100) εἶπε „τῇσι δὲ Ναυσικάα

book 101.4 λευκώλενος ἤρχετο μολπῆσ“, πᾶσαν παιδίαν μολπὴν λέγων.

book 101.5.1 οἱ δὲ νεώτεροι τὴν ᾠδήν. ὅτι δὲ οὐκ ᾖδεν ἡ Ναυσικάα, ἀλλ’

book 101.5.2 ἐσφαίριζε, δηλοῖ τὸ „σφαῖραν ἔπειτ’ ἔρριψε μετ’ ἀμφίπολον

book 101.5.3 βασίλεια“ (115). BEHPQ.

book 101.5.4 cf. L. Ar. 138. F. Ar. A 474. α 152. δ 19.

book 108.1 ῥεῖα τ’ ἀριγνώτη πέλεται.

book 108.2 Ex Ar. ad Π 123 apparet, hic notatam fuisse formam femi-

book 108.3 ninam ἀριγνώτη pro ἀρίγνωτος, quod in recentiore sermone hoc

book 108.4 adiectivum generis communis esse solet, ut ἀσβέστη pro ἄσβε-

book 108.5 στος. cf. F. Ar. 31.

book 122.1 θῆλυς ἀυτή.

book 122.2 ) οὐκ εἶπε θήλεια P. Vind. 133. cf. Karajan l. c. 296. p.

book 122.3 F. Ar. 31, β 214 et exempla ibidem.

book 137.1 σμερδαλέος δ’ αὐτῇσι φάνη.

book 137.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Fuit diple periestigmene, quod Zenodotus legit ἀργαλέος,
book 137.3 κακῶς cf. HP., alii λευγαλέος κακῶς.
book 144.1 λίσσοιτ’, εἰ δείξειε πόλιν καὶ εἵματα δοίη.
book 144.2 ) περιττὸς ὁ στίχος· οὐ γὰρ περὶ τῆς διανοίας αὐτῆς
book 144.3 διστάζει, ἀλλὰ πῶς παρακαλέσει, πλησίον σταίη ἢ ἀφεστηκὼς
book 144.4 αὐτῆς. καὶ Ἀθηνοκλῆς δὲ ὑπώπτευσε τὸν στίχον HP.
book 144.5.1 Athenocles ἐν τῷ περὶ Ὁμήρου a Didymo ad Z 71 citatur
book 144.5.2 cf. A. Γ 368. Eust. 1555, 58.
book 163.1 νέον ἀνερχόμενον.
book 163.2 *) [ἡ διπλῆ ὅτι τὸ νέον ἀνερχόμενον ἀντὶ τοῦ] νεωστὶ
book 163.3 ἀνερχόμενον [ὡς τὸ „νέον ἡβώωντα“ I 446) BPQ. cf. α 209 et
book 163.4 exempla ibidem.
book 165.1 ᾗ δὴ ἔμελλεν ἐμοὶ κακὰ κήδε’ ἔσεσθαι.
book 165.2 *) ὅτι οὐκ οἶδεν ὁ ποιητὴς τὸ μέλλεν. Ἀττικῶν γάρ ἐστι
book 165.3 τῶν μεταγενεστέρων. P. cf. L. Ar. 121. α 232 et locos ibi
book 165.4 collatos.
book 167.1 ἐκ δόρυ γαίης.
book 167.2 ) σημείωσαι ὅτι καὶ τὸ δένδρον δόρυ καλεῖ E. cf. Apoll.
book 167.3 l. h. 60, 7.
book 168.1 ὡς σέ, γύναι, ἄγαμαί τε τέθηπά τε.
book 168.2 ) σημειοῦνταί τινες, ὅτι τὸ μὲν ἄγαμαι ἀντὶ τοῦ θαυμάζω,
book 168.3 τὸ δὲ τέθηπα ἀντὶ τοῦ ἐκπέπληγμαι PQV.
book 168.4 cf. L. Ar. 147. Apoll. 150, 28. β 67. θ 565. ψ 64. 211.
book 174.1 τελέουσιν πάροιθεν.
book 174.2 *) [ἡ διπλῆ ὅτι τὸ τελέουσι ἀντὶ τοῦ] τελέσουσιν BPT.
book 174.3 cf. F. Ar. 6. γ 82 et exempla ibid.
book 176.1 σὲ ... ἐς πρώτην ἱκόμην.
book 176.2 *) [ἡ διπλῆ ὅτι τὸ ἱκόμην ἀντὶ τοῦ] ἱκέτευσα V.
book 176.3 cf. X 123. Apoll. l. h. 90, 33. γ 92.
book 201.1 οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς βροτός.
book 201.2 ) ὁ ζῶν H. Sic Aristarchum interpretatum esse apparet
book 201.3 ex scholio Didymi ad h. v. cf. L. Ar. 47. ι 43, ubi accuratius
book 201.4 hac de re agam.
book 204.1 οἰκέομεν δ’ ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ.
book 204.2 *) ὅτι σαφῶς ἐνταῦθα ἐκτετοπισμένην που καὶ ἐσχάτην
book 204.3 τὴν τῶν Φαιάκων χώραν ὑφίσταται, οὐ τὴν Κέρκυραν T. cf.
book 204.4 L. Ar. 248, ζ 8.
book 218.1 στῆθ’ οὕτω ἀπόπροθεν.
book 218.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

) δεικτικῶς, οὕτως ὡς ἔχετε· ὡς κἀν τῷ Ἥφαιστε, πρό-
book 218.3 μολ’ ὧδε (Σ 392) PMT.
book 218.4 cf. ad Σ 392, ubi citatur noster versus in interpretatione
book 218.5 illius πρόμολ’ ὧδε.
book 221.1 ἄντην δ’ οὐκ ἂν ἔγωγε λοέσσομαι.
book 221.2 ) ἢ περιττεύει τὸ ἄν, ἢ τὸ λοέσσομαι ἀντὶ τοῦ λοεσσαί-
book 221.1 μην τέτακται P. cf. F. Ar. 8.
book 221.2 De virginum officio heroes lavandi certe fuit adnotatio Ari-
book 221.5.1 starchi, quod hic locus observationi eius repugnare videtur. cf.
book 221.5.2 schol. in QT. ταῦτα μάχονται τῷ ὑπὸ παρθένων ποιεῖν λου-
book 221.5.3 όμενον. λύοιτο δ’ ἂν τῇ λέξει, προσέθηκε γὰρ „μετελθών“
book 221.5.4 οἷον ξένος ὤν. τάχα δ’ οὐδ’ ὅλως παρθένοι λούουσι. λέγεται
book 221.5.5 γὰρ „τὸν δ’ ἐπεὶ οὖν δμῶαι λοῦσαν“, ἀλλ’ οὐχὶ κοῦραι· καὶ
book 221.10.1 περὶ τῆς Ἥβης γὰρ ἀμφισβητεῖται εἰ παρθένος ἦν· καὶ ἡ
book 221.10.2 Ἑλένη λούοιτ’ ἂν Ὀδυσσέα.
book 222.1 κούρῃσιν ἐυπλοκάμοισι μετελθών.
book 222.2 ) ἀντὶ τοῦ ἐπελθών V. L. qu. ep. p. 88. θ 47.
book 224.1 χρόα νίζετο ἅλμην.
book 224.2 *) [ἡ διπλῆ] πρὸς τὴν φράσιν τὸν χρόα τὴν ἅλμην ἀπε-
book 224.3 νίζετο. Q.
book 224.4 cf. F. Ar. 20. Eust. 1560, 49.
book 244-5.1 αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
book 244-5.2 ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν.
book 244-5.3 ) ἄμφω μὲν ἀθετεῖ Ἀρίσταρχος, διστάζει δὲ περὶ τοῦ
book 244-5.4 πρώτου, ἐπεὶ καὶ Ἀλκμὰν αὐτὸν μετέλαβε (corr. L. „transtulit
book 244-5.5.1 ad sua“ pro cod. μετέβαλε) παρθένους λεγούσας εἰσάγων „Ζεῦ
book 244-5.5.2 πάτερ, αἲ γὰρ ἐμὸς πόσις εἴη“. HQ.
book 244-5.5.3 cf. L. Ar. 340. η 311. Versus 245 asterisco notatus est in
book 244-5.5.4 D. cf. La Roche p. 134.
book 256.1 πατρὸς ἐμοῦ πρὸς δῶμα.
book 256.2 *) ὅτι ἐν πᾶσι φέρεται ἐμοῦ, ἀλλ’ οὐκ ἐμεῦ. ὅμως ἐπί
book 256.3 τινων (M. Schmidt fortasse ἐπιτιμῶν!) ὁ Ζηνόδοτος ἐπὶ τὸ
book 256.4 χεῖρον μετατίθησι. HQE. cf. Ξ 118, Ω 486, α 413.
book 258.1 ἀλλὰ μάλ’ ὧδ’ ἔρδειν, δοκέεις δέ μοι οὐκ ἀπι-
book 258.2 νύσσειν.
book 258.3 *) ὅτι ἀντὶ τοῦ προστακτικοῦ τοῦ ἔρδε· τὸ δὲ οὐκ ἀπι-
book 258.4 νύσσειν οὐκ ἀπίνυτος εἶναι, ὡς καὶ ἐν Ἰλιάδι (Ο 10) „κῆρ
book 258.5.1 ἀπινύσσων“ τὸ κῆρ ἀπίνυτος ὤν. QT.
book 258.5.2

cf. F. Ar. 14. α 291. O 10.

ὄφρ’ ἂν μέν κ’ ἀγροὺς ἴομεν.

*) [ἡ διπλῆ ὅτι] τὸ ἴομεν ἀντὶ τοῦ ἴωμεν· [συνέσταλται γάρ.] H. cf. F. Ar. 13. ζ 33.

καρπαλίμως ἔρχεσθαι.

*) [ἡ διπλῆ ὅτι] ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ τέθεικεν. H. cf. ζ 258.

καί νύ τις ὧδ’ εἴπῃσι κακώτερος ἀντι-
βολήσας·
τίς δ’ ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν εὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῇ.
ἦ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν.
ἤ τίς οἱ εὐξαμένῃ πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἰ καὐτή περ ἐποιχομένη πόσιν εὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ’ ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ’ ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ’ ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ’ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ’ ἀμφάδιον γάμον ἐλθεῖν.

*) ἀθετοῦνται στίχοι ιδ′ ἕως „ἀνδράσι μίσγηται“ ὡς ἀνοίκειοι τῷ ὑποκειμένῳ προσώπῳ. —εἴρηται οὖν τοῦτο διὰ τῶν πρὸ αὐτῶν β′ στίχων, τῶν „ἀλεείνω φῆμιν ἀδευκέα“. HQ.

πατρὸς ἐμοῖο.

Fuit diple periestigmene propter Zenodoti lectionem ἐμεῖο cf. schol. HQ. ζ 256.

τέμενος τεθαλυῖα τ’ ἀλωή.

*) [ἡ διπλῆ ὅτι] τέμενος λέγεται ἡ ἀποτετμημένη γῆ EV. cf. Σ 550. Z 194. L. Ar. 150.

*) [ἡ διπλῆ ὅτι] ἀλωὴ λέγεται [ἡ] δενδροφόρος γῆ. QV. cf. Φ 36. η 122.

ἴμεν ἐς πόλιν, ἠδ’ ἐρέεσθαι.

*) [ἡ διπλῆ ὅτι τὸ ἴμεν] ἀντὶ τοῦ ἴθι [καὶ τὸ] ἐρέεσθαι ἀντὶ τοῦ ἐρώτησον HV. cf. F. Ar. 14. α 291.

δώματα Φαιήκων ..

... ἀλλ’ ὁπότ’ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

) κεκύθωσιν ὅμοιον τῷ λελάχωσιν. προειπὼν δὲ δώματα
book 302.4 ἐπήνεγκε δόμος, πρὸς ὃ ἡ διπλῆ. Q. cf. F. Ar. p. 11 not.
book 305.1 ἡ δ᾽ ἧσται ἐπ᾽ ἐσχάρῃ.
book 305.2 *) [ἡ διπλῆ ὅτι τὸ ἐπ᾽ ἐσχάρῃ] ἀντὶ τοῦ παρὰ (sic scri-
book 305.3 bendum) ἐσχάρῃ. H. cf. Z 15. ζ 52. L. qu. ep. p. 87.
book 318 εὖ δὲ πλίσσοντο πόδεσσιν.
book 318 Notatum fuit vocabulum πλίσσοντο ἅπαξ λεγόμενον. v. HPQ.
book 8.1 γρηῢς Ἀπειραίη.
book 8.2 *) ὅτι συνέστειλεν Ἰακῶς καὶ ἑξῆς „τήν ποτ᾽ Ἀπείρηθεν“
book 13.1 ἥ οἱ πῦρ ἀνέκαιε καὶ εἴσω δόρπον ἐκόσμει.
book 13.2 Fuit diple periestigmene quod Zenodotus hunc versum ex-
book 13.3 punxit v. HP: ἀθετεῖ Ζηνόδοτος· ἤδη γὰρ εἶπε „δαῖε δέ οἱ
book 13.4 πῦρ“ (7).
book 13.5.1 *) [ἡ διπλῆ] διὰ τὴν διαφορὰν τοῦ εἴσω πρὸς τὸ ἔνδον.
book 13.5.2 HP. cf. L. Ar. 134.
book 13.5.3 *) [ἡ διπλῆ ὅτι δόρπον λέγει τὴν] ἑσπερίνην τροφήν. δεῖ
book 13.5.4 γὰρ νοεῖν, ὅτι ἑσπέρας εἰσῆλθεν ἡ Ναυσικάα HPT. cf. L.
book 13.5.5 Ar. 127. α 124. β 20. δ 61. π 2.
book 15.1 πολλὴν ἠέρα χεῦε φίλα φρονέους᾽ Ὀδυσῆι.
book 15.2 *) ὅτι τῷ Ὀδυσσεῖ περιέθηκε σκότος, οὐ τοῖς Φαίαξιν,
book 15.3 ὡς ἐν τοῖς ἑξῆς Ζηνόδοτος PQT. v. ad v. 41 et 140. For-
book 15.4 tasse adnotavit etiam: ὅτι ἀέρα τὴν σκοτίαν καλεῖ. cf. schol.
book 15.5 in E 14, P 644. 649. L. Ar. 102.
book 24.1 καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος.
book 24.2 ) Ἀρίσταρχος μὲν ἀντὶ τοῦ ταλαίπωρος, τινὲς δὲ ἀντὶ τοῦ
book 24.3 ξένος καὶ πόρρωθεν πεπερακώς, ἢ μακρόθεν ἀφιγμένος PV.
book 24.4 cf. Apoll. l. h. 149, 1.
book 25.1 τηλόθεν ἐξ ἀπίης γαίης.
book 25.2 *) ὅτι [ἀπίαν λέγει] τὴν πολὺ ἀφεστῶσαν γῆν, οὐ τὴν Πε-
book 25.3 λοπόννησον, ὡς (οἴονται) οἱ νεώτεροι. EMPT. L. Ar. 227.
book 33.1 οὐδ᾽ ἀγαπαζόμενοι φιλέουσι.
book 33.2 *) [ἡ διπλῆ ὅτι] τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. τὸ
book 33.3 δὲ φιλέουσι μετὰ στοργῆς ξενίζουσι. BPT. cf. F. Ar. 2. δ 47.
book 33.4 322. κ 238. L. Ar. 147. δ 29.
book 36.1 τῶν νέες ὠκεῖαι ὡς εἰ πτερὸν ἠὲ νόημα.
book 36.2 *) [ἡ διπλῆ ὅτι] ἐντεῦθεν τὸ παροιμιῶδες „διέπτατο δ᾽
book 36.3 ὥστε νόημα“ BET [ἔκ τε τούτων καὶ τῶν κατὰ τὴν Ἰλίαδα „ὡς
book 36.4 δ᾽ ὅτ᾽ ἂν ἀίξῃ νόος ἀνέροσ“ (O 80) συγκεῖται, οὐκ ὂν παρ᾽
book 36.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδενὶ ποιητῇ]. cf. Ar. ad O 80.

book 40.1 ἐρχόμενον κατὰ ἄστυ διὰ σφέας.

book 40.2 *) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ δι’ αὐτῶν PV. cf. F. Ar. 21.

book 41.1 ἤ ῥά οἱ ἀχλὺν κατέχευε.

book 41.2 *) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος ἤ σφισιν ἀχλὺν
book 41.3 γράφει, οὐκ εὖ. ἐν γὰρ τοῖς ἑξῆς (143) φησιν „καὶ τότε δή
book 41.4 ῥ’ αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ“. HP. cf. v. 15.

book 47.1 τοῖσι δὲ μύθων ἦρχε.

book 47.2 *) ὅτι δύο ὄντων „τοῖσι“ εἶπε· καὶ περισσὸς ὁ δέ P. cf.
book 47.3 ε 202. P 628. Φ 287.

book 49.1 δήεις δὲ διοτρεφέας βασιλῆας.

book 49.2 *) [ἡ διπλῆ ὅτι] βασιλεῖς [καὶ] τοὺς κατὰ μέρος ἄρχοντάς
book 49.3 φησιν. BPQT. cf. L. Ar. 115.

book 59,n1.1 ὑπερθύμοισι Γιγάντεσσιν.

book 59,n1.2 ὡς ἔθνους τινὸς τῶν γιγάντων μέμνηται γενναίου καὶ ὑπερη-
book 59,n1.3 φάνου. τὰ δὲ παρὰ τοῖς νεωτέροις οὐκ οἶδεν, οὔδ’ ὡς ἦσαν ἐκ-
book 59,n1.4 τράπελοί τινες καὶ ὀφιόποδες, οἵους αὐτοὺς ἀναζωγραφοῦσιν, οὔτε
book 59,n1.5.1 ὡς Φλέγραν ᾤκησαν, οὔτε ὅτι θεοῖς ἐμαχέσαντο PQ. Fluxit fortasse
book 59,n1.5.2 ex Ar.

book 65.1 νύμφων ἐν μεγάρῳ.

book 65.2 Notatum fuit vocabulum νύμφων ἅπαξ εἰρημένον nostro
book 65.3 loco et Ψ 223. cf. schol. BEPQT quod errat contendens, non
book 65.4 legi nisi in hoc Odysseae versu vocabulum.

book 79-80.1 πόντον ἐπ’ ἀτρύγετον, λίπε δὲ Σχερίην ἐρα-
book 79-80.2 τεινήν,
book 79-80.3 ἵκετο δ’ ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην.

book 79-80.4 *) ὅτι ἑνικῶς τὰς Ἀθήνας H. cf. γ 287. A ad B 498.

book 79-80.5.1 In HP praeterea legitur: ὑποπτεύεται ὁ τόπος, ὡς καὶ
book 79-80.5.2 Χαῖρίς φησιν ἐν Διορθωτικοῖς, quod ex Didymo manasse vi-
book 79-80.5.3 detur, qui citat hunc grammaticum ad B 865. Z 71. I 605. An
book 79-80.5.4 suspectus fuit locus, quod Minerva non rediit in Olympum ut
book 79-80.5.5 ζ 42?

book 103.1 πεντήκοντα δέ οἱ δμῳαὶ
book 103.2 αἱ μὲν ἀλετρεύουσι, αἱ δὲ ἱστους ὑφῶσι.

book 103.3 Ex schol. PQ sequitur, ut fuerit Ar. diple πρὸς τὸ σχῆμα,
book 103.4 ὅτι ἀντὶ τοῦ δμωῶν αἱ μὲν .. αἱ δέ. cf. F. Ar. p. 19.

book 104.1 ἀλετρεύουσι.

book 104.2 *) [ὅτι ἤλλακται ὁ χρόνος ἀλετρεύουσι] ἀντὶ τοῦ ἠλέτρευον.

book 104.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

HP. cf. F. Ar. 4. K 364 ubi noster locus sic explanatur.
book 107.1 καιροσέων δ’ ὀθονέων.
book 107.2 *) ὅτι καὶ ἐπὶ ἐρίων ὀθόναι λέγεται (cod. λέγονται) BHMPT.
book 122.1 ἀλωή.
book 122.2 ) ἀλωὴ νῦν ἡ ἀμπελόφυτος γῆ. ἐῤῥίζωται δέ, πεφύτευ-
book 122.3 ται. B. Alibi ἡ δενδροφόρος γῆ. cf. Φ 36. ζ 293.
book 126.1 ἕτεραι δ’ ὑποπερκάζουσιν.
book 126.2 *) [ἡ διπλῆ] πρὸς τὸ ἕτερον, ὅτι ἐπὶ δύο. ἐπὶ δὲ τοῦ
book 126.3 τρίτου ἄλλας (125) P. cf. I 313. M 93.
book 132.1 τοῖ’ ἄρ’ ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα
book 132.2 *) [ἡ διπλῆ ὅτι κατὰ τοῦ οὐδετέρου τὸ πληθυντικόν] τοῖα
book 132.1 (cod. τόσα] ἔσαν, ὡς „σπάρτα λέλυνται“ (B 135) H.
book 132.2 Observatum est, quod neutrum plurale cum verbo plurali
book 132.5 coniunctum est. cf. F. Ar. 15.
book 137.1 σπένδοντας δεπάεσσιν ἐυσκόπῳ ἀργειφόντῃ,
book 137.2 ᾧ πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.
book 137.3 *) ἡ διπλῆ πρὸς τὸ ἔθος. καὶ ὅτι κοίτου ἀρσενικῶς φησι.
book 137.4 P. cf. γ 334.
book 139.1 βῆ διὰ δῶμα.
book 139.2 *) [ἡ διπλῆ ὅτι ἀντὶ τοῦ] διὰ τοῦ δώματος P. cf. F. Ar.
book 139.3 21 et ad v. 40.
book 140.1 πολλὴν ἠέρ’ ἔχων, ἥν οἱ περίχευεν Ἀθήνη.
book 140.2 *) ὅτι τῷ Ὀδυσσεῖ περιέχεεν, οὐ τοῖς Φαίαξιν, ὡς Ζηνό-
book 140.3 δοτος. HP. cf. v. 41. 15.
book 153.1 ἕζετ’ ἐπ’ ἐσχάρῃ.
book 153.2 *) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ παρ’ ἐσχάρῃ. PT. cf. ζ 305. 52.
book 155,n2.1 ἥρως Ἐχένηος.
book 155,n2.2 ὁ ποιητὴς πλάττει τοῦτο τὸ ὄνομα· ἀπὸ γὰρ τοῦ ἔχειν τὴν νῆα
book 155,n2.3 ἐκάλεσε τοῦτον Ἐχένηον E. Fluxit fortasse ex Ar. cf. β 386. γ 425. δ 630.
book 155,n2.4 Eust. 1575, 61: ὅτι τὰ πλείω τῶν Φαιακικῶν ὀνομάτων ναυτικὰ ἔκ τε
book 155,n2.5 νεῶν καὶ θαλάσσης εἰλημμένα.
book 159.1 Ἀλκίνο’, οὐ μέν τοι τόδε κάλλιον, οὐδὲ ἔοικεν.
book 159.2 *) [ἡ διπλῆ ὅτι τὸ οὐ κάλλιον] ἀντὶ τοῦ οὐ καλόν. PQ.
book 159.3 cf. F. Ar. 30. γ 125. 362. Eust. 1575, 64.
book 174.1 παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
book 174.2 *) ἀθετεῖται τὸ ἔπος ὡς ἀσύμφωνον τῇ τοῦ Ὁμήρου συν-
book 174.3 ηθείᾳ. οὐ γὰρ ποιεῖ τὰς τραπέζας ἀφαιρουμένας παρόντων
book 174.4 τῶν δαιτυμόνων, ἀλλὰ μετὰ τὴν ἀπαλλαγήν. HPQT.
book 174.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

cf. schol. in V ad Ω 476 et Ar. ad Δ 262 ubi ἡ διπλῆ
book 174.1 ὅτι διὰ παντὸς αἱ τράπεζαι παρέκειντο. Phaeaces nondum cubi-
book 174.2 tum iverunt, itaque Laodamas, cuius sellam Ulixes occupavit,
book 174.3 mensam habet.
book 196.1 πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι.
book 196.2 ) ἀντὶ τοῦ πρὶν αὐτόν. ὡς περὶ ἑτέρου λέγει P.
book 197,n3.1 πείσεται ἅσσα οἱ αἶσα κατὰ κλῶθές τε.
book 197,n3.2 γενικόν ἐστι τὸ αἶσα, εἶτα εἰδικὸν τὸ κλῶθες, ὡς „ἀλλ’ ἄγε δή
book 197,n3.3 τινα μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον“ (A 62). τὸ μὲν
book 197,n3.4 γὰρ γενικὸν, τὰ δὲ εἰδικά. BPQT. cf. A 62 ubi sic interpretatus est
book 197,n3.5 Aristarchus, et fortasse etiam hoc ex adnotatione eius manavit
book 217.1 ἥ τ’ ἐκέλευσε ἕο μνήσασθαι ἀνάγκη.
book 217.2 *) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος ἑοῦ (cod. male
book 217.3 ἕο) γράφει ἀντὶ τοῦ ἑαυτῆς. [τοῦτο δὲ σύναρθρον καὶ οὐχ ἁρ-
book 217.4 μόζον τῷ λόγῳ]. HP.
book 217.5 cf. B 239. Y 261. Ω 293.
book 222.1 ὑμεῖς δ’ ὀτρύνεσθαι.
book 222.2 *) ὅτι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὅπερ ἀγνοῶν Ζη-
book 222.3 νόδοτος γράφει ὀτρύνεσθε HP. cf. Γ 458.
book 238.1 τίς πόθεν εἷς ἀνδρῶν; τίς τοι τάδε εἵματ’ ἔδωκεν;
book 238.2 *) ὅτι πρὸς τὸ τελευταῖον ἀποκρίνεται μόνον „τίς τοι τάδε
book 238.3 εἵματ’ ἔδωκεν. P.
book 250.1 ἀργῆτι κεραυνῷ || Ζεὺς ἔλσας
book 250.2 γράφεται ἐλάσας P.
book 250.3 Hanc Zenodoti lectionem fuisse et ab Ar. vituperatam esse
book 250.4 apparet ex schol. ad ε 132. cf. L. Ar. 65.
book 251-8.1 ἔνθ’ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ
book 251-8.2 ἑταῖροι,
book 251-8.3 αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης
book 251-8.4 ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
book 251-8.5.1 νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
book 251-8.5.2 ναίει εὐπλόκαμος, δεινὴ θεός, ἥ με λαβοῦσα
book 251-8.5.3 ἐνδυκέως ἐφίλει τε καὶ ἔτρεφεν ἠδὲ ἔφασκεν
book 251-8.5.4 θήσειν ἀθάνατον καὶ ἀγήρων ἤματα πάντα.
book 251-8.5.5 ἀλλ’ ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
book 251-8.10.1 ἀθετοῦνται στίχοι η′. ὕστερον γὰρ ταῦτα λέγεται· εἰ δὲ
book 251-8.10.2 προείρητο, οὐκ ἂν ἐπαλιλλόγει. HP. cf. L. Ar. 438.
book 251-8.10.3 In M. obeli appicti sunt. Ad v. 251 ἀπέφθιθεν legitur in
book 251-8.10.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

HP. ὡς κόσμηθεν, quod est lectio Aristarchi, cf. Ariston. ad Π 354: ὅτι οὕτως δεῖ γράφειν διέτμαγεν ὡς κόσμηθεν, ἵν’ ᾖ διετμάγησαν παθητικῶς. τὸ γὰρ διέτμαγον ἐνεργητικόν ἐστιν. cf. etiam schol. ad Π 507.

δύσετό τ’ ἠέλιος.

) Ἀρίσταρχος γράφει δείλετο, ὅ ἐστιν εἰς δείλην ἐκλίνετο. πρὸ δυσμῶν γάρ, φησὶ, συνέτυχε τῇ Ναυσικάᾳ ὁ Ὀδυσσεύς HP. cf. Eust. 1580, 17.

ὡς οὐκ ἂν ἔλποιο.

) οὕτως Ὁμηρικὸν τὸ τῆς ἑρμηνείας. ἀντὶ γὰρ τοῦ ἔλποιτο H. cf. F. Ar. 8.

ἦγεν ἐς ἡμέτερον.

) οὕτως ἡμετέρου. Ἀττικὸν δὲ τὸ σχῆμα ὡς ἐς διδασκάλου HP.

Fluxisse videtur ex Didymo et Aristonico cf. ad β 55.

αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ
Ἄπολλον,
τοῖος ἐών, οἷός ἐσσι, τά τε φρονέων, ἅ τ’ ἐγώ περ,
παῖδα τ’ ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· οἶκον δέ κ’ ἐγὼ καὶ κτήματα δοίην,
εἴ κ’ ἐθέλων γε μένοις· ἀέκοντα δέ ς’ οὔτις ἐρύξει
Φαιήκων. μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.

) τοὺς ἓξ Ἀρίσταρχος διστάζει Ὁμήρου εἶναι. εἰ δὲ καὶ Ὁμηρικοὶ (h. e. etiamsi nihil continent quod a consuetudine sermonis et antiquitatis Homericae abhorreat L. Ar. 339) εἰκότως αὐτοὺς περιαιρεθῆναί φησι. πῶς γὰρ ἀγνοῶν τὸν ἄνδρα μνηστεύεται αὐτῷ τὴν θυγατέρα καὶ οὐ προτρεπόμενος, ἀλλὰ λιπαρῶν; P.

εἴ περ καὶ μάλα πολλὸν ἑκαστέρω ἐστ’ Εὐβοίης

) ἐκτετόπισται τὰ τῆς πλάνης. τῆς γὰρ Σχερίας πόῤῥω φησὶ τὴν Εὔβοιαν. ἴδιον τοῦτο τῶν ἀπείρων τῆς Ἑλλάδος. P. cf. L. Ar. 244. d 556 et locos ibi collatos.

τοῖσιν δ’ ἡγεμόνευε.

*) [ἡ διπλῆ ὅτι] τὸ τοῖσιν ἀντὶ γενικῆς H. cf. F. Ar. p. 22.

δεῦτ’ ἄγε, Φαιήκων ἡγήτορες.

*) [ἡ διπλῆ ὅτι] ἰδίως ἐξενήνοχε. τὸ γὰρ δεῦτε πληθυντικῶς φήσας τὸ ἄγε ἑνικῶς εἶπε. E. cf. γ 475.

ὄφρα ξείνοιο πύθησθε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

*) [ἡ διπλῆ ὅτι] ἐλλείπει ἡ περὶ, ἵνα ᾖ περὶ τοῦ ξείνου
book 12.3 T. cf. F. Ar. p. 26.
book 16.1 ἀγοραί τε καὶ ἕδραι.
book 16.2 *) [ἡ διπλῆ ὅτι] ἀντὶ ἑνικοῦ τοῦ ἀγορά· προεῖπε γοῦν εἰς
book 16.3 ἀγορὴν ἰέναι (5) καὶ „ἐνθάδε τέ σφ’ ἀγορὴ καλὸν Ποσιδήϊον
book 16.4 ἀμφίσ“ (ζ 266). H. cf. γ 287 et exempla ibidem.
book 17.1 θηήσαντο ἰδόντες.
book 17.2 *) [ἡ διπλῆ ὅτι] σαφῶς νῦν τὸ ἐθηήσαντο ἀντὶ τοῦ ἐθαύ-
book 17.3 μασαν· ἐπιφέρει γοῦν ἰδόντες. Q.
book 22.1 δεινός τ’ αἰδοῖός τε, καὶ ἐκτελέσειεν ἀέθλους
book 22.2 πολλούς, τοὺς Φαίηκες ἐπειρήσαντ’ Ὀδυσῆος.
book 22.3 Nota fuit de Zenodoti athetesi versuum 22—23, qui in eo
book 22.4 offendit, quod Ulixes unum modo certamen disci apud Phaea-
book 22.5.1 ces inierit, non multa. Crates ἀέθλους mire intellixit τοὺς κατὰ
book 22.5.2 Ἰθάκην πόνους cf. schol. in HQV. πληθυντικῶς εἶπε τὸν τοῦ
book 22.1 δίσκου ἆθλον· Κράτης δὲ τοὺς κατὰ Ἰθάκην ἤκουσε πόνους
book 22.2 QV. ἀθετεῖ Ζηνόδοτος· οὐ γὰρ πολλοὺς ἐτέλεσεν ἐν Φαιακίᾳ,
book 22.3 ἀλλ’ ἐδίσκευσε μόνον (186) HQ. cf. Eust. ad h. v. Duentzer p. 91.
book 29.1 ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων.
book 29.2 ) οὐ προσέθηκεν ἄρκτον καὶ μεσημβρίαν (ut Crates vult
book 29.3 cf. ad β 1) ὅτι ἁπλούστερον οἱ ἀρχαῖοι διῄρουν τὸν κόσμον,
book 29.4 εἴς τε ἀνατολὴν καὶ δύσιν T.
book 29.5.1 Fluxit ex Ar. qui ad M 239 posuit diplam, ὅτι δύο διαστά-
book 29.5.2 σεις οἶδεν Ὅμηρος κοσμικὰς ἀνατολὴν καὶ δύσιν. cf. L. A. 174.
book 38.1 θοὴν ἀλεγύνετε δαῖτα.
book 38.2 *) [ἡ διπλῆ ὅτι τὸ θοὴν] ἀντὶ τοῦ θοῶς, ὡς „λῦσεν ἀγο-
book 38.3 ρὴν αἰψήρην“ (β 257) HQ. [καὶ ὅτι] ἐκ τοῦ περὶ αὐτῶν εἰς τὸν
book 38.4 πρὸς αὐτοὺς λόγον μετῆλθεν H.
book 38.5 cf. β 257. F. Ar. 30 et 16.
book 47.1 κῆρυξ δὲ μετ’ ᾤχετο θεῖον ἀοιδόν.
book 47.2 *) [ἡ διπλῆ ὅτι] ἡ μετὰ ἀντὶ τῆς ἐπί· ᾤχετο ἐπὶ τὸν θεῖον
book 47.3 ἀοιδόν Q. cf. A 222. ζ 222.
book 75.1 νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος.
book 75.2 De Ar. adnotatione ad contentionem Ulixem inter et Achil-
book 75.3 lem exortam cf. I 347. L. Ar. 176.
book 81-2.1 χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος
book 81-2.2 ἀρχὴ
book 81-2.3 Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς.
book 81-2.4

) ἐν ἐνίαις τῶν ἐκδόσεων οὐκ ἐφέροντο. διὸ ἀθετοῦν-
book 81-2.5.1 ται H.
book 81-2.5.2 Verba composita esse videntur ex Didymo et Aristonico.
book 81-2.5.3 cf. Nitzsch, Anmerkungen zur Odyssee II, 178.
book 122.1 ἐπέτοντο κονίοντες πεδίοιο.
book 122.2 *) [ἡ διπλῆ ὅτι ἐλ]λείπει ἡ διά, [ἵν’ ᾖ διὰ πεδίου] Q. cf.
book 122.3 F. Ar. 26.
book 142.1 αὐτὸς νῦν προκάλεσσαι ἰὼν καὶ πέφραδε μῦθον.
book 142.2 Hunc versum Ar. non legit cf. H: οὔτε Ἀρίσταρχος οὔτε
book 142 Ἀριστοφάνης οὔτε Ζηνόδοτος ἐπίστανται τοῦτον τὸν στίχον.
book 153.1 Λαοδάμα, τί με ταῦτα κελεύετε;
book 153.2 ) ἀπὸ ἑνικοῦ εἰς πληθυντικὸν μετέβη E. Ad tales nume-
book 153.3 rorum permutationes Ar. attendere solebat. cf. F. Ar. p. 15 sq.
book 154.1 κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤ περ ἄεθλοι.
book 154.2 *) [ἡ διπλῆ ὅτι] περιττὸς ὁ καί H. cf. F. Ar. 34. cf. α 33.
book 154.3 κ 471. λ 452. ρ 216.
book 163.1 φόρτου τε μνήμων.
book 163.2 ) τοῦτό τινες σημειοῦνται πρὸς τὸ ἀγνοεῖν γράμματα τοὺς
book 163.3 ἥρωας· τῇ γὰρ μνήμῃ φασὶ τὰ ἐγκείμενα κατέχειν διὰ τὸ ἀπεί-
book 163.4 ρως ἔχειν γραμμάτων. ὅθεν καὶ τοὺς Φοίνικας ἐμπόρους ὑπὸ
book 163.5.1 τῆς χρείας αὐτῆς ἐπὶ τὴν τῶν γραμμάτων εὕρεσιν ἐλθεῖν EQ.
book 163.5.2 cf. L. Ar. 95.
book 186.1 ἦ ῥα.
book 186.2 Certe adnotatum fuit, vocabulum ἦ poni tantum post ora-
book 186.3 tionem peractam, vid. schol. in E, quod legitur etiam ad E 533
book 186.4 et Porphyrii est, qui idem docuit atque Aristarchus, sed plures
book 186.5.1 exquirit vocabulorum ἦ et φῆ differentias. cf. L. Ar. 95. F.
book 186.5.2 Ar. A 528. Υ 114.
book 186,n1.1 καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον.
book 186,n1.2 σὺν τῷ ἱματίῳ, ὡς εἶχεν V. σὺν αὐτῷ τῷ φάρει B. Fortasse Ar.
book 186,n1.3 adnotavit, praepositionem σὺν omissam esse. cf. F. Ar. p. 25.
book 189.1 τόν ῥα περιστρέψας ἧκε.
book 189.2 *) [ἡ διπλῆ] ὅτι ὁ δίσκος ἐκ μέσου σχοῖνον εἶχεν EV.
book 192.1 λᾶος ὑπὸ ῥιπῆς. ὁ δ’ ὑπέρπτατο σήματα πάντων.
book 192.2 Fuit asteriscus cf. ad Ψ 843, nostro loco εὐλόγως ἔστιν
book 192.3 „ὑπέρβαλε σήματα πάντων“, πλείονες γὰρ δισκεύουσιν.
book 214.1 πάντα γὰρ οὐ κακός εἰμι μετ’ ἀνδράσιν ὅσσοι
book 214.2 ἄεθλοι
book 214.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

) σημειωτέον, ὅτι τῷ ἆθλα οὐδετέρῳ ἀρσενικὸν ἐπήγαγε
book 214 τὸ ὅσσοι HQ. cf. δ 240.
book 223.1 ἐριζέμεν οὐκ ἐθελήσω.
book 223.2 *) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ οὐ δυνήσομαι, ὡς τὸ „οὐδ’ ἔθελε
book 223.3 προρέειν“ (Φ 366). QT. cf. Φ 366. γ 121. L. Ar. 148.
book 224.1 οὐδ’ Εὐρύτῳ Οἰχαλιῆι.
book 224.2 ) ἡ Οἰχαλία πόλις Θεσσαλίας QV.
book 224.3 Ex Ar. fluxit, qui ad B 596 et 730 adnotavit, Eurytum
book 224.4 regem esse Oechaliae, quae Thessaliae sit, non Euboeae ut apud
book 224.5 recentiores. cf. L. Ar. 184.
book 246.1 οὐ γὰρ πυγμάχοι εἰμέν.
book 246.2 Fuit diple contra chorizontes, ὅτι προτάσσει τὴν πυγμὴν
book 246.3 ὡς καὶ ἐν Ἰλιάδι „οὐ γὰρ πύξ γε μαχήσεαι οὐδὲ παλαίσεισ“.
book 246.4 cf. ad Ψ 621.
book 251.1 ἀλλ’ ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
book 251.2 παίσατε ..
book 251.3 Fuit diple periestigmene propter Zenodoti lectionem παί-
book 251.4 σατον pro παίσατε, cf. in HQ. Ζηνόδοτος παίσατον εἶπεν, οὐ
book 251.5.1 κακῶς. Aut delendum est οὐ, aut κακῶς in καλῶς mutandum
book 251.5.2 est, ut sit οὐ καλῶς. Nam persaepe ob dualem cum plurali con-
book 251.5.3 fusum Zenodotus vituperatur, cf. exempla a Friedlaendero col-
book 251.5.4 lata Ar. p. 15. Nitzsch l. c. p. 204.
book 258.1 αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν.
book 258.2 ) οἱ μὲν τὸ πάντες κατὰ παρολκήν φασι κεῖσθαι, ὡς καὶ
book 258.3 ἀλλαχοῦ τὸ „δέκα πάντα τάλαντα“ (T 247) καὶ τὸ „οἱ δ’ ἐννέα
book 258.4 πάντες ἀνέσταν“ (H 161) E.
book 258.5.1 Sic interpretatus est Ar. cf. ad v. c. H 161. Σ 373. Ω
book 258.5.2 232. ε 244.
book 260.1 λείηναν δὲ χορόν.
book 260.2 ) τὸ χωρίον, ἐν ᾧ ἔμελλον ὀρχεῖσθαι, χορόν ἐκάλεσεν BE.
book 260.3 cf. ad Σ 590, ubi adiungitur: οὐ τὸ σύστημα τῶν χορευόντων.
book 264.1 πέπληγον.
book 264.2 Ar. de hac forma observationem v. apud Eust. 1596, 6:
book 264.3 Ἀριστόνικος οὐ Σικελικὰ (sic enim Eust. esse vult et Ἰώνων)
book 264 ταῦτα, ἀλλὰ ἀναδιπλώσεις Ἰακὰς βούλεται εἶναι κατὰ τὸ κε-
book 264.5.1 κάμω καὶ λελάβω. Fuit igitur Ar. diple πρὸς τὸν ἀναδιπλα-
book 264.5.2 σιασμόν. cf. δ 388.
book 264.5.3 Demodoci cantum de Martis cum Venere amoribus in offen-
book 264.5.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sionem veterum grammaticorum incurrisse constat ex schol. ad
book 264.5.5 Arist. Pac. 778: σημειοῦται ταῦτα ὁ Μόχθος (i. e. Apio, quem
book 264.10.1 hoc cognomine appellatum esse prodidit Suidas) πρὸς τοὺς ἀθε-
book 264.10.2 τοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν.
book 264.10.3 Scholiasta in HQT dicit: ἀλλ’ οὐχ Ὁμήρου τὸ ἔγκλημα. Quo
book 264.10.4 magis dolemus, quod quid Ar. hac de re statuerit nobis non
book 264.10.5 servatum est. Hoc unum ex scholiis ad Iliadem extricamus,
book 264.15.1 Aristarchum non haesitasse ut chorizontes, quod nostro loco
book 264.15.2 Venus Vulcani uxor est, cf. ad Φ 416: λέγειν δὲ δεῖ, ὅτι οὐχ
book 264.15.3 οἱ αὐτοὶ χρόνοι ἦσαν τῆς συμβιώσεως.
book 271.1 ἥλιος.
book 271.2 ) ἅπαξ εἴρηται ἥλιος· ἠέλιος γὰρ ἀεί φησιν Ἰακῶς, τὸ
book 271.3 η εἰς ηε. H.
book 274.1 βῆ ῥ’ ἴμεν ἐς χαλκεῶνα.
book 274.2 *) [ἡ διπλῆ ὅτι] οὐκ οἶδεν ὁ ποιητὴς τὸν Ἥφαιστον ἐργα-
book 274.3 ζόμενον ἢ ἐν Λιπάρᾳ τῆς Σικελίας τῶν Αἰολίδων νήσων, ἢ
book 274.4 ἐν Λήμνῳ, ἀλλ’ ἐν Ὀλύμπῳ· καὶ γὰρ καὶ τὴν ἀσπιδοποιΐαν
book 274.5.1 ἐκεῖ λέγει γεγενῆσθαι. Q.
book 274.5.2 cf. Σ 369. L. Ar. 185.
book 277.1 ἀμφὶ δ’ ἄρ’ ἑρμῖσιν.
book 277.2 ) τοῖς κλινοποδίοις· ἑρμὶς ὁ τῆς κλίνης ποῦς BQV. Sic
book 277.3 Ar. cf. Apoll. l. h. 77, 5: ὁ δὲ Ἀρίσταρχός φησιν, ἑρμῖνας
book 277.4 ἐκάλουν τοὺς πόδας τῶν κλινῶν, οὗτοι δὲ ἦσαν σφηνοειδεῖς
book 277.5 τῇ κατασκευῇ· τῶν ἅπαξ εἰρημένων.
book 283.1 εἴσατ’ ἴμεν.
book 283.2 ) ὥρμησεν ἀπίεναι Q. L. Ar. 148. ε 281.
book 289.1 ἐρχομένη κατ’ ἄρ’ ἕζεθ’ ..
book 289.2 ) ἀντὶ τοῦ ἀορίστου· τὸ γὰρ ἐρχομένη (corr. Friedlaender,
book 289.3 codd. ἐχόμενον) ἐνεστῶτος καὶ παρατατικοῦ P. cf. F. Ar. 4.
book 289 ι 297.
book 294.1 οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.
book 294.2 ) Σίντιες ἐκαλοῦντο οἱ Λήμνιοι EQ. Sic Ar. cf. Apoll.
book 294.3 l. h. 141, 25. L. Ar. 234.
book 309 De Ar. interpretatione vocabuli ἀίδηλος cf. ad χ 165.
book 312.1 ἀλλὰ τοκῆε δύω.
book 312.2 ) Ἡσίοδος ἐκ μόνης τῆς Ἥρας γενέσθαι τὸν Ἥφαιστον.
book 312.3 κἀκεῖνο δ’ ἱκανὸν „τόν τοι φίλος υἱὸς ἔτευξεν Ἥφαιστοσ“
book 312.4 (Ξ 338). T. sc. ut Hesiodus refutetur, nam Jovis et Junonis fi-
book 312.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

lius est apud Homerum cf. ad Ξ 335 ubi noster locus citatur.
book 312.5.2 L. Ar. 185.
book 333-42.n2.1 ἐν ἐνίοις ἀντιγράφοις οἱ δέκα στίχοι οὐ φέρονται
book 333-42.n2.2 διὰ τὸ ἀπρέπειαν ἐμφαίνειν. νεωτερικὸν γὰρ τὸ φρόνημα H.
book 333-42.n2.3 In Vind. 56: ἐν ἐνίοις ἀθετοῦνται, cf. la Roche p. 169. Preller
book 333-42.n2.4 in adnot. apud Dindorfium p. 386. Nitzsch ad v. 262 seq.
book 363.1 ἡ δ’ ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη
book 363.2 ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος.
book 363.3 ) πόλις Κύπρου· ἀπὸ γενικοῦ εἰς τὸ εἰδικόν· ὁ δὲ ἀντὶ
book 363.4 τοῦ γάρ, ἔνθα γάρ οἱ H. Similis locus, quem Eust. 1600, 50
book 363.5.1 citat ad nostrum versum, est Θ 47: Ἴδην δ’ ἵκανεν Γάργαρον,
book 363.5.2 ad quem v. Ar. cf. η 197. ι 39. 184. De commutatione voca-
book 363.5.3 bulorum δέ et γάρ F. Ar. 35, β 6 et locos ibid. collatos. Quod
book 363.5.4 habet T ad v. 364: καὶ δύο γενέσεις Χαρίτων est Aristarcheum.
book 363.5.5 cf. L. Ar. 180.
book 383.1 ἠμὲν ἀπείλησας ..
book 383.2 ) ἐπηγγείλω· „οὐδ’ ἠπείλησεν ἄνακτι“ (Ψ 863) H. Fru-
book 383.3 stula sunt Ar. notae, qui ad locum citatum ἠπείλησεν ἀντὶ τοῦ
book 383.4 ηὔξατο esse dicit. cf. I 682. Eust. pro ἐκαυχήσω.
book 390.1 δώδεκα γὰρ βασιλῆες ἀριπρεπέες κατὰ δῆμον·
book 390.2 Ex Ar. ad Ψ 84 apparet, hic diplam fuisse, ὅτι βασιλεῖς
book 390.3 καὶ τοὺς κατὰ μέρος ἄρχοντας λέγει. cf. L. Ar. 115. α 72.
book 390.4 η 49. ξ 336.
book 452 θερμὰ λοέτρ’, ἐπεὶ οὔ τι κομιζόμενός γε θάμιζεν,
book 452.1 ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς.
book 452.2 De dipla ab Ar. adpicta propter ἐπεί vocabuli significatio-
book 452.3 nem, non tantum quod, sed etiam postquam cf. ad α 2.
book 477.1 κῆρυξ, τῆ δή, τοῦτο πόρε κρέας.
book 477.2 ) τὸ τῆ ῥῆμα προστακτικόν ἐστι παρὰ ποιηταῖς εἰρημέ-
book 477.3 νον χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ BQ. Est ἀντὶ τοῦ
book 477.4 λάβε cf. ad ι 347. Ξ 219.
book 483.1 ἥρῳ Δημοδόκῳ.
book 483.2 Fuit diple, ὅτι δισυλλάβως καὶ ἐν Ἰλιάδι ἥρῳ cf. ad H 453,
book 483.3 ubi etiam noster locus notatur.
book 507.1 ἠὲ διαπλῆξαι κοῖλον δόρυ νηλέι χαλκῷ.
book 507.2 ) Ἀρίσταρχος διαπλῆξαι, ὡς ἀλλαχοῦ „τὰς μὲν ἔπειτα
book 507.3 διαπλήσσοντες Ἀχαιοί“ (Ψ 120). Eust. 1608, 16. διατμῆξαι, quod
book 507.4 habent ACDEFGHIKLMPQSV, Zenodoto videtur deberi, cf.
book 507.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

schol. Σ 34.
book 529.1 εἴρερον εἰσανάγουσι.
book 529.2 Notatum fuit vocabulum εἴρερον ἅπαξ εἰρημένον cf. in ET.
book 529.3 Apoll. l. h. 64, 13.
book 546.1 ἀντὶ κασιγνήτου ξεῖνος.
book 546.2 Fuit diple ὅτι τὸ ἀντὶ κασιγνήτου ἀντὶ τοῦ ἴσος κασιγνήτῳ
book 546.3 cf. ad Φ 75, ubi noster versus sic explanatur ab Ar. L. Ar. 114.
book 557.1 οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν.
book 557.2 ) τοῦτο φανερὸν ὅτι ἐκτετόπισται ἡ πλάνη. διὸ μὴ χρή-
book 557.3 ζειν τὰς ναῦς τῶν κυβερνητῶν, ἀλλ’ αὐτὰς τὸν πλοῦν ἐπί-
book 557.4 στασθαι T.
book 557.5 cf. ad δ 556 et locos ibid. collatos.
book 564-71.1 ἀλλὰ τόδ’ ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος
book 564-71.2 ἄκουσα
book 564-71.3 Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων’ ἀγάσασθαι
book 564-71.4 ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
book 564-71.5.1 φῆ ποτὲ Φαιήκων ἀνδρῶν εὐεργέα νῆα
book 564-71.5.2 ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέι πόντῳ
book 564-71.5.3 ῥαισέμεναι, μέγα δ’ ἧμιν ὄρος πόλει ἀμφικαλύψειν·
book 564-71.1 ὣς ἀγόρευ’ ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν.
book 564-71.2 *) ἀθετοῦνται· οἰκειότερον γὰρ ἐν τοῖς ἑξῆς, (ν 172 seq.)
book 564-71.10.1 ὅταν ἴδωσι τὴν ναῦν ἀπολελιθωμένην ὑπὸ τοῦ Ποσειδῶνος
book 564-71.10.2 [ὥστε ἀναμιμνήσκονται inserendum esse putat Friedlaenderus
book 564-71.10.3 in Fleckeisenii Annal. tom. LXXVII p. 5] ἐκ τοῦ ἀποτελέσμα-
book 564-71.10.4 τος, ὥσπερ ὁ Κύκλωψ ὑπὸ τοῦ .... ἀναμιμνήσκεται καὶ ἡ
book 564-71.10.5 Κίρκη „ἦ σύ γ’ Ὀδυσσεύς ἐσσι“ (κ 330). καὶ ἐνταῦθα δὲ πα-
book 564-71.15.1 λιλλογοῦνται (sc. οἱ στίχοι). εἰ δὲ ἔμαθε Ὀδυσσεὺς τὸν χρη-
book 564-71.15.2 σμὸν, οὐκ ἂν αὐτοῖς ἐμήνυσε τὰ ὑπὲρ αὐτοῦ, οὐδὲ Ἀλκίνοος
book 564-71.15.3 ἔπεμψεν αὐτὸν ὑπερβολῇ φιλοξενίας T. cf. ad ν 173. Obelos
book 564-71.15.4 cum asteriscis his versibus appictos fuisse—sunt in M. cf.
book 564-71.15.5 La Roche p. 179—commemorat Eust. 1610, 46 et 1737, 59
book 564-71.20 easdem fere caussas afferens.
book 565.1 ὃς ἔφασκε Ποσειδάων’ ἀγάσασθαι || ἡμῖν.
book 565.2 *) [ἡ διπλῆ ὅτι τὸ ἀγάσασθαι νῦν] ἀντὶ τοῦ φθονῆσαι
book 565.3 B. cf. ν 173. L. Ar. 147.
book 581.1 ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο.
book 581.2 *) [ἡ διπλῆ ὅτι] σαφῶς ἐκ τούτου δηλοῦται ὅτι πηὸς [ὁ] (οὐ
book 581.3 cod.) κατ’ ἐπιγαμίαν (cod. ἐπωνυμίαν, sed correxi secutus Apoll.
book 581.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

l. h. 131, 22) οἰκεῖος (ἤ) [οὐχ ὁ] φίλος ἢ (corr. Friedlaenderus
book 581.5.1 in Fleckeisenii annal. l. c. pro cod. ἀλλ') ἑταῖρος, ὡς οἱ πολ-
book 581.5.2 λοὶ τῶν γλωσσογράφων· ἐπιφέρει γοῦν ἀντιδιαστέλλων (584)
book 581.5.3 „ἢ πού τις καὶ ἑταῖρος ἀνήρ" ὁρισμὸν ποιῶν. T. cf. Eust.
book 581 ad h. v.
book 19.1 ὃς πᾶσι δόλοισιν || ἀνθρώποισι μέλω.
book 19.2 *) [ἡ διπλῆ ὅτι] παρεῖται ἡ διὰ καὶ ἡ δοτικὴ ἀντὶ αἰτια-
book 19.3 τικῆς κεῖται· διὰ δόλους γὰρ μέλω· ὅμοιόν ἐστι τῷ „σοὶ πάν-
book 19.4 τες μαχόμεθα" (E 875) τουτέστι διὰ σέ BHQ.
book 19.5 cf. F. Ar. 25. E 875. τ 378.
book 21.1 ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ.
book 21.2 ) σύνηθες αὐτῷ τὰ ὄρη χωρίζειν τῆς γῆς. προεῖπε γὰρ
book 21.3 τὴν Ἰθάκην καὶ ἐπήγαγε περὶ τοῦ ὄρους H.
book 21.4 cf. ad O 193 ubi citatur hic versus, et notatus fuit propter
book 21.5.1 Olympum montem cf. L. Ar. 166 „ne quis intelligat Olympum
book 21.5.2 extra terram poni".
book 24.1 Σάμη.
book 24.2 *) [ἡ διπλῆ ὅτι] τὴν Σάμην ἐν ἄλλοις Σάμον λέγει· „οἵ τε
book 24.3 Ζάκυνθον ἔχον ἠδ' οἳ Σάμον ἀμφενέμοντο" (B 634) HQ.
book 24.4 cf. Ar. ad B 634. L. Ar. 233. α 246.
book 33-5.1 ἀλλ' ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν
book 33-5.2 ἔπειθον.
book 33-5.3 ὣς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
book 33-5 γίγνεται, εἴ περ καί τις ἀπόπροθε πίονα οἶκον.
book 33-5.5.1 Versus 33—35 obelis notati in Q. —Sengebuschius l. c.
book 33-5.5.2 p. 13 athetesin a versu 29 ad versum 36 patuisse putat, ita ut
book 33-5.5.3 versui 28 subiungatur v. 37. Itaque α 14—15 asteriscis nota-
book 33-5.5.4 tos fuisse contendit. cf. Nitzsch l. c. III, 12. La Roche obe-
book 33-5.5.5 los ad v. 34—36 pertinere censet.
book 39.1 Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν
book 39.2 Ἰσμάρῳ.
book 39.3 ) ἡ μὲν χώρα Κικονία—ἔστι δ' αὐτὴ τῆς Θράκης—
book 39.4 ἡ δὲ πόλις Ἴσμαρος. τῷ γὰρ γενικῷ τὸ εἰδικὸν ἐπήγαγεν, ὡς τὸ
book 39.5.1 „ἡ δ' ἄρα Κύπρον ἵκανεν, εἰς Πάφον" (θ 262). πορθεῖ δὲ τοὺς
book 39.5.2 Κίκονας, ὅτι συνεμάχησαν τοῖς Τρωσί (B 846). BQ. cf. ad θ 362.
book 42.1 δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.
book 42.2 Versus 42 asteriscum habuit, οὐκ ὀρθῶς Λ 705 ubi v. Ar.
book 42.3 La Roche asteriscum non notavit.
book 43.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διερῷ ποδὶ φευγέμεν ἡμέας.
book 43.2 Quod habet schol. in PQV: οἱ δὲ τῷ ζῶντι Aristarcheum
book 43.3 est. cf. ad ζ 201. L. Ar. 47. Sed Aristarchum in etymologia
book 43.4 lapsum esse demonstrat Lehrsius, qui „fugaci pede“ interpre-
book 43.5.1 tatur, cuius interpretationis vestigium in eodem scholio est: οἱ
book 43.5.2 δὲ διερῷ τῷ ὀξεῖ καὶ ταχεῖ. cf. Curtius, Grundzüge der Ety-
book 43.5.3 mologie p. 212.
book 48.1 οἵ σφιν γείτονες ἦσαν.
book 48.2 ) ἐπισημαίνονται ἐν Ἰλιάδι γείτονα μὴ ὠνομάσθαι, ἐν δὲ
book 48.3 Ὀδυσσείᾳ νῦν δὲ κἀκεῖ (Dind. ex Eust. vult: ἐνταῦθα κεῖται καὶ)
book 48.4 „ὣς οἱ μὲν δαίνυντο γείτονες ἠδὲ ἔται Μενελάου“ H. (δ 15)
book 48.5 Etiam ε 489 γείτονες legitur.
book 59.1 Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς.
book 59.2 *) [ἡ διπλῆ ὅτι τὸ κλῖναν] ἀντὶ τοῦ κλιθῆναι ἠνάγκασαν.
book 59.3 T. cf. E 37.
book 62.1 ἔνθεν δὲ προτέρω πλέομεν.
book 62.2 *) [ἡ διπλῆ ὅτι τὸ προτέρω] ἀντὶ τοῦ εἰς τοὔμπροσθεν.
book 62.3 καὶ ἑξῆς ὁμοίως „οὐδ’ ἄρα μοι προτέρω νῆες κίον“ (64) H.
book 62 cf. Ar. ad K 469. δ 36. ε 417.
book 68.1 νηυσὶ δ’ ἐπῶρς’ ἄνεμον Βορέην ...
book 68.2 λαίλαπι θεσπεσίῃ.
book 68.3 *) [ἡ διπλῆ ὅτι] ἐλλείπει ἡ σύν πρόθεσις, σὺν λαίλαπι T.
book 68.4 cf. F. Ar. 25. M 207.
book 69,n2.1 ὀρώρει δ’ οὐρανόθεν νύξ.
book 69,n2.2 νύκτα οὐδέποτε ἐξ Ὀλύμπου ἐρεῖ γεγονέναι ὁ ποιητής. H. cf. ε 294.
book 69,n2.3 Fortasse pertinet ad discrimen inter Olympum et Uranum factum;
book 69,n2.4 hic est omnis regio, quae nubes excedit, inde ad nubes et terram ve-
book 69,n2.5 nit nox, non ab monte in Macedonia sito Olympo.
book 80.1 περιγνάμπτοντα Μάλειαν.
book 80.2 *) [ἡ διπλῆ ὅτι] νῦν ἑνικῶς Μάλειαν, ἑτέρωθι δὲ πλη-
book 80.3 θυντικῶς „ἀλλ’ ὅτε δή ῥα ἔμελλε Μαλειάων ὄρος αἰπὺ ἵξε-
book 80.4 σθαι“ BEQ. cf. ad. δ 514. γ 287.
book 106.1 Κυκλώπων δ’ ἐς γαῖαν ὑπερφιάλων ἀθεμίστων.
book 106.2 ) ἢ τῶν μεγαλοφυῶν τῷ σώματι—τῶν δισήμων γὰρ ἡ
book 106.3 λέξις—(de quibus v. L. Ar. 146) ἀθεμίστων δὲ τῶν νόμοις
book 106.4 μὴ χρωμένων (cf. Ar. ad Π 387). φησὶ γὰρ „θεμιστεύει δὲ
book 106.5.1 ἕκαστος παίδων ἠδ’ ἀλόχων“ (114). εἰ γὰρ ἦν ἀθεμίστων ἀντὶ
book 106.5.2 τοῦ ἀδίκων, πῶς λέγει „οἵ ῥα θεοῖσι πεποιθότεσ“; (107) εἰ
book 106.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δ’ εἴπῃ τις, καὶ πῶς ὁ Πολύφημός φησιν „οὐ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσι“, (275) σκοπείτω τὸ πρόσωπον, ὅτι Πολυφήμου ἐστὶ τοῦ ὠμοφάγου καὶ θηριώδους. καὶ Ἡσίοδος—Op. 277—„ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖσι πετεινοῖς ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς, ἀνθρώποισι δ’ ἔδωκε δίκην“. ὥστε Πολύφημον μόνον λέγει ὑπερήφανον καὶ ἄδικον, τοὺς δὲ λοιποὺς πάντας Κύκλωπας εὐσεβεῖς καὶ δικαίους καὶ πεποιθότας τοῖς θεοῖς, ὅθεν καὶ ἀνῆκεν αὐτοῖς αὐτομάτως ἡ γῆ τοὺς καρπούς H.

Sic fere etiam alii codd. TV ex parte BQ ad v. 112 cf. praeterea ad v. 225. 275. 508. Hanc Ar. sententiam fuisse apparet ex Apoll. l. h. 12, 20 et 158, 30. Eust. 1617, 20. Totus locus fuit τῶν προβλημάτων v. Apoll. l. c.

τοῖσιν δ’ οὔτ’ ἀγοραὶ βουληφόροι οὔτε θέμιστες

) ἀθεμίστους λέγει οὐχ ὡς ἀδίκους, ἀλλ’ ὡς μὴ θέμιδος ἤτοι νόμου χρῄζοντας εἰς εὕρεσιν τοῦ καλοῦ. ἦσαν γὰρ ἀγαθοί Q.

νῆσος ἔπειτα λάχεια.

Fuit diple periestigmene propter Zenodoti lectionem, quam servavit HQ: Ζηνόδοτος τὴν βραχεῖαν, γράφων διὰ τοῦ ε, ἐλάχεια. cf. Eust. 1619, 31. Apoll. l. h. 107, 12 De ἐλάχεια vocabulo omnia incerta sunt praeter accentum, cf. L. qu. ep. p. 175. Dindorfius vulgatam lectionem Aristarcho probatam fuisse putat. cf. ad κ 509.

ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ’ ἦν, οὐδὲ σελήνη.

) ἀορασία ἢ ἀχλύς H. Certe diple fuit ὅτι ἀέρα τὴν σκοτίαν καλεῖ. cf. P 644. 649. Apoll. l. h. 12, 10. Herod. ad T 87.

ὦρσαν δὲ νύμφαι || αἶγας ὀρεσκῴους ἵνα δειπνήσειαν ἑταῖροι.

) ὅμοιόν ἐστι τῷ „οὐδ’ ἄρ’ ἀπ’ ἀσφάραγον μελίη τάμε“ (Χ 329) τὰ γὰρ συμβεβηκότα ὡς αἴτια λαμβάνει H. cf. Ar. ad Χ 329, quem versum expunxit.

καπνόν τ’ αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν

σπονδεῖος ὅλος ὁ στίχος E.

Hoc qui scripsit τε post οἰῶν omittere debebat. Tales versus ex meris spondeis compositos notare solebat Ar. cf. ο 334. φ 15. χ 175. 192. Λ 130. An Ar. fuit haec lectio?

ὣς εἰπὼν ἀνὰ νηὸς ἔβην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

) ἰδίως εἶπεν ἀντὶ τοῦ ἀνὰ τὴν ναῦν ἔβη H. Sic in praepositione ἐπὶ ad E 249. 700. genetivus pro accusativo Ἀττικῶς notatus est. cf. Eust. 1621, 13.

μῆλ’, ὄιές τε καὶ αἶγες.

*) [ἡ διπλῆ ὅτι] προτάξας τὸ γένος ἐπήνεγκε τὸ εἶδος V. Ad K 485 enim adnotavit, ὅτι μῆλα οἱ νεώτεροι πάντα τὰ τετράποδα, Ὅμηρος δὲ αἶγας καὶ οἴας· Et ex nostro loco hanc interpretationem fecit Ar. cf. ad Z 43.

(Vinum) ὅν μοι ἔδωκε Μάρων || ἱρεὺς Ἀπόλλωνος.

) ταῦτα σημειοῦνταί τινες πρὸς τὸ μὴ παραδιδόναι Ὅμηρον Διόνυσον οἴνου εὑρέτην, τὸν δὲ Μάρωνα οὐ Διονύσου, ἀλλ’ Ἀπόλλωνος ἱερέα, δι’ ὅλης τῆς ποιήσεως οἴνου μνημονεύων· ἡ δ’ ἀπότασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου HQ. cf. L. Ar. 182, ubi monet, scholii testimonium nec integrum fortasse esse et an Aristonici sit non carere dubio. Nitzsch III, 42.

χωρὶς δ’ αὖθ’ ἕρσαι.

Etym. M. 377, 38: ἕρσαι αἱ ἐν ἔαρι γεννηθεῖσαι ἢ αἱ ἁπαλαὶ καὶ τελείως νέαι, μεταφορικῶς ὡς Ἀριστόνικος ἐν σημείοις. Similia habent Q. ad v. 221 et V. Eust. 1625, 30.

) ἐκ τούτων ἡ δικαιοσύνη τῶν Κυκλώπων δήλη, ἐκ τοῦ ἀμελῶς εὑρεθῆναι τὸ σπήλαιον πλῆρες ὂν τυρῶν τε καὶ θρεμμάτων. ᾔδει γὰρ ὁ Κύκλωψ ὅτι οὐδεὶς ὑφαιρήσεται τῶν ἐπιχωρίων T. cf. ad v. 106.

ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν ἠδὲ καὶ αὐτοί
τυρῶν αἰνύμενοι φάγομεν.

) ἐθύσαμεν ἀπὸ τῶν τυρῶν. παλαιὸν γὰρ ἔθος τὸ τῶν ἀπαρχῶν θύειν. „ὁ δ’ ἐν πυρὶ βάλλε θυηλάς“. H. Ad I 219 Ar. adnotavit, verbum θύειν nusquam apud Homerum dici de immolanda hostia sed de offerendis ἀπαρχαί, et θυηλάς esse ἀπαρχάς cf. L. Ar. 82. Hoc certe ad nostrum etiam versum observatum fuit contra Philoxenum, qui falso accepit τὸ „ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν“ παρὰ τῷ ποιητῇ εἴρησθαι ἐπὶ τῶν ἀρνῶν.

τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρησιν.

Ex Eust. 1626, 54: ὅτι τὴν τοῦ σπηλαίου εἴσοδον ἤτοι τὸ περὶ αὐτὴν διάστημα θύραν ὁ ποιητής ἐνταῦθα λέγει, καθά που καὶ ἐν Ἰλιάδι πύλας τὸν τόπον περὶ ὃν αἱ πύλαι, quod

Eulogikon public reading copy · View original HTML at eulogikon.org

L. Ar. 156 Aristarcho attribuit cf. ad ν 370.
book 250 πονησάμενος τὰ ἃ ἔργα.
book 250.1 ) πονηθεὶς τὰ αὑτοῦ ἔργα, ὅ ἐστι περιγενόμενος, τοῦτο
book 250.2 γὰρ ὁ πόνος παρὰ τῷ ποιητῇ T. cf. L. Ar. 73. schol. E ad
book 250.3 v. 247: ἐνήργησεν. β 334. δ 624.
book 252-5 ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ’ ὑγρὰ
book 252-5.2 κέλευθα;
book 252-5.3 ἦ τι κατὰ πρῆξιν, ἦ μαψιδίως ἀλάλησθε
book 252-5.4 οἷά τε ληιστῆρες ὑπὲρ ἅλα, τοί τ’ ἀλόωνται
book 252-5.5.1 ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;
book 252-5.5.2 Versibus appicti fuerunt asterisci, cf. ad γ 71. Aristopha-
book 252-5.5.3 nes obelos cum asteriscis adposuit. cf. Eust. 1627, 33 qui de
book 252-5.5.4 asteriscorum significatione et forma hoc loco diserte exponit.
book 261.1 ἄλλην ὁδὸν, ἄλλα κέλευθα || ἤλθομεν.
book 261.2 ) ἐκ παραλλήλου τὸ αὐτό· τὰ γὰρ δύο ἓν σημαίνουσιν Q.
book 261.3 cf. γ 317.
book 266.1 ἡμεῖς δ’ αὖτε κιχανόμενοι τὰ σὰ γοῦνα
book 266.2 ἱκόμεθ’, εἴ ..
book 266.3 ) ἱκέται ἐσμὲν παρὰ τὰ σὰ γούνατα παραγενόμενοι Q.
book 266.4 cf. etiam T. γ 92. X 123.
book 275.1 οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν.
book 275.2 ) τὸ ἴδιον ἁμάρτημα ἑαυτοῦ ὁ Πολύφημος κοινὸν ποιεῖται·
book 275.3 ὅτι γὰρ οἱ ἄλλοι Κύκλωπες οὐκ ἦσαν ἄθεοι, φησὶ „νοῦσον δ’
book 275.4 οὔπως ἐστὶ Διὸς μεγάλου ἀλεύασθαι“ (411) HQ. Idem in V.
book 275.5 cf. ad v. 106.
book 297.1 ἐμπλήσατο νηδύν
book 297.2 ἀνδρόμεα κρέ’ ἔδων καὶ ἐπ’ ἄκρητον γάλα πίνων.
book 297.3 ) εἰς ἔμφασιν τοῖς παρατατικοῖς κέχρηται ἀδιαλείπτως
book 297.4 ἐσθίοντος καὶ πίνοντος· καὶ τὸ „ἀνδρόμεα“ μεῖζον τοῦ ἀνθρώ-
book 297.5.1 πεια. καὶ τὸ „κεῖτο“ ἐμφαντικῶς. οὐ γὰρ ἂν ἐκ προνοίας
book 297.5.2 ἀνεκλίθη, ἀλλὰ κατηναγκασμένην ἀνατροπὴν σημαίνει τὸ ῥῆμα.
book 297.5.3 Q. De priore scholii parte cf. F. Ar. 4. θ 289.
book 347.1 Κύκλωψ, τῆ, πίε οἶνον.
book 347.2 *) [ἡ διπλῆ ὅτι τὸ τῆ] ἀντὶ τοῦ λάβε. P.
book 347.3 cf. θ 477. Ar. ad Ξ 219.
book 374.1 ὁ δ’ ἐρεύγετο οἰνοβαρείων.
book 374.2 Fuit diple, quod dixit ὡς περὶ ἑτέρου. cf. Ar. ad Π 106
book 374.3 ubi citatur hic versus in eadem adnotatione.
book 398,n4.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χερσὶν ἀλύων.
book 398,n4.2 νῦν ἀντὶ τοῦ ἀδημονεῖν, ἐν δὲ τοῖς μετὰ ταῦτα ἀντὶ τοῦ χαίρειν, ὡς
book 398,n4.3 τὸ „ἢ ἀλύεις ὅτι Ἶρον ἐνίκησασ“ (ς 333). μέση γὰρ ἡ λέξις B.
book 398,n4.4 cf. Eust. 1636, 22. ς 333. Fluxit fortasse ex Ar.
book 473.1 ὅσσον τε γέγωνε βοήσας.
book 473.2 ) ὅσον ἐξακούεται φωνὴ ἀνδρός. cf. L. Ar. 100.
book 483.1 τυτθόν, ἐδεύησεν δ’ οἰήιον ἄκρον ἱκέσθαι.
book 483.2 ) οὗτος ὁ στίχος συντάσσεται ἀπὸ τοῦ στίχου τοῦ ἀρχο-
book 483.3 μένου „πλημμυρίσ“ (486) M. cf. Eust. 1640, 33: διὸ ἐν μὲν
book 483.4 τοῖς πρώτοις στίχοις τὸ „τυτθὸν ἐδεύησεν οἰήιον ἄκρον ἱκέ-
book 483.5.1 σθαι“ ἀστέρα ἔχει μετὰ ὀβέλου· ὡς ἄριστον μὲν ἔπος ὂν ἐκεῖ-
book 483.5.2 θεν δὲ ὀβελιζόμενον. ἐν δὲ τοῖς δευτέροις στίχοις ἀστέρα
book 483.5.3 μόνον ἔχει ὡς ἐκεῖ ἄριστα κείμενον.
book 495.1 βαλὼν βέλος (i. e. κορυφὴν ὄρεος μεγάλοιο).
book 495.2 ) βλῆμα· νῦν γὰρ τὸν βληθέντα λίθον λέγει V. cf. M
book 495.3 458. L. Ar. 56.
book 508.1 ἔσκε τις ἐνθάδε μάντις.
book 508.2 ) ἐκ τούτου νοητέον ὅτι δεισιδαίμονες οἱ Κύκλωπες, ὅτι
book 508.3 ὑπήκουον βουλήμασι θεῶν, καὶ οὐκ ἀπέκτεινον τοὺς προλέγον-
book 508.4 τας αὐτοῖς τινα παρὰ θεῶν ἐσόμενα Q. L. Ar. 182. cf. ν. 106.
book 540.1 τυτθόν, ἐδεύησεν δ’ οἰήιον ἄκρον ἱκέσθαι.
book 540.2 Versus asterisco notatus erat cf. ad v. 483 et schol. in
book 540 HMQV.
book 1.1 Αἰολίην δ’ ἐς νῆσον ἀφικόμεθ’.
book 1.2 *) [ἡ διπλῆ ὅτι] οὐ τὰς Αἰόλου νήσους νῦν λεγομένας,
book 1.3 ἀλλά τινα ἄλλην ἐκτετοπισμένην νῆσον λέγει. BQV.
book 1.4 cf. δ 556. Eust. 1644, 39.
book 3.1 πλωτῇ ἐνὶ νήσῳ.
book 3.2 ) ὁ (δὲ) Ἀρίσταρχος πλωτῇ ἀντὶ τοῦ φορητῇ, οἷον περι-
book 3.3 φερομένη, ὡς ποτὲ μὲν ἐν τοῖς δεξιοῖς μέρεσι, ποτὲ δὲ ἐν τοῖς
book 3.4 ἀριστεροῖς ὁρᾶσθαι, οἷον δή τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ
book 3.5.1 Πίνδαρος λέγων οὕτως „ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσσι
book 3.5.2 Δᾶλος παντοδαπῶν τ’ ἀνέμων ῥιπαῖσ“ (fragm. 58) HMQTV.
book 3.5.3 Q praeterea habet: οἰκειότερον γάρ φησι μὴ ἐῤῥιζῶσθαι τῶν
book 3.5.4 ἀνέμων νῆσον. Eust. idem. cf. Apoll. l. h. 132, 18. L. Ar. 151.
book 15.1 καὶ ἐξερέεινεν ἕκαστα,
book 15.2 Ἴλιον Ἀργείων τε νέας καὶ νόστον Ἀχαιῶν.
book 15.3 ) περὶ τῆς Ἰλίου, περὶ τῶν νεῶν τῶν Ἀργείων, περὶ τοῦ
book 15.4

νόστου τῶν Ἀχαιῶν BH.
book 15.5.1 Accusativum pro περὶ cum genetivo positum esse statuit
book 15.5.2 Ar. etiam ad P 54. δ 836. F. Ar. 25.
book 20.1 κατέδησε κέλευθα.
book 20.2 ) Ἰωνικῶς τὰς κελεύθους κέλευθα εἶπε H.
book 41.1 πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλά
book 41.2 ληίδος.
book 41.1 *) ὅτι διῃρημένως ἀναγνωστέον. βούλεται γὰρ λέγειν Τρωϊ-
book 41.2 κῆς (cod. ἐρωτικῆς, Buttm. et Dind. στρατιωτικῆς) λείας, ὡς
book 41.5.1 ὅτε „οὕνεκά με στερέσαι τῆς ληΐδος ἤθελε πάσης Τρωϊάδοσ“
book 41.5.2 (ν 262) Q. cf. A 129. ε 39, λ 510.
book 41.5.3 Praeterea fuit diple periestigmene, quod Zenodotus in v. 41
book 41.5.4 ἐκτελέοντες dedit pro ἐκτελέσαντες. cf. in H.
book 55,n1.1 αὖτις ἐπ’ Αἰολίην νῆσον ..
book 55,n1.2 ἔνθα δ’ ἐπ’ ἠπείρου βῆμεν
book 55,n1.3 ὅτι τὴν νῆσον ἤπειρον εἶπε κατὰ τὴν διαίρεσιν τοῦ ὑγροῦ, ὡς εἰ ἔλε-
book 55,n1.4 γεν ἐπὶ τὴν γῆν ἔβημεν BQT. Est fortasse Ar.
book 70.1 ὡς ἐφάμην μαλακοῖσι καθαπτόμενος ἐπέεσιν.
book 70.2 Diple periestigmene contra Zenodotum fuit, qui non intel-
book 70.3 ligens verbum καθάπτεσθαι mediae esse significationis, pro
book 70.4 καθαπτόμενος dedit ἀμειβόμενος, quod praefert schol. in H.
book 70.5.1 Ζηνόδοτος „μαλακοῖσιν ἀμειβόμενοσ“ γράφει. καὶ ἔστι χαριε-
book 70.5.2 στάτη ἡ γραφή· οὐ καθάπτεται γὰρ αὐτὸν, ἀλλ’ ἱκετεύει. cf.
book 70.5.3 ad β 39. γ 345 not. 6.
book 91.1 ἔνθ’ οἵ γ’ εἴσω πάντες ἔχον νέας.
book 91.2 *) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ εἰσεῖχον, ὡς μὴ συγχεῖσθαι τὸ
book 91.3 ἔνδον· τὸ δὲ ἔχον ἀντὶ τοῦ ἤλαυνον H. cf. L. Ar. 134. η 13.
book 110.1 ὅς τις τῶν δ’ εἴη βασιλεύς, καὶ τοῖσιν ἀνάσσοι.
book 110.2 τὸ οἷσιν Ἀρίσταρχος διὰ τοῦ τ, καὶ τοῖσιν ἀνάσσοι, ἀντὶ
book 110.3 τοῦ τίνων H. Coaluerunt Didymi et Aristonici verba. cf. F.
book 110.4 Ar. 23.
book 113.1 κατὰ δ’ ἔστυγον αὐτὴν.
book 113.2 ) ἐφοβήθησαν, ἐξεπλάγησαν. Notatum est verbum στυ-
book 113.3 γεῖν propter duplicem significationem timere et abhorrere cf.
book 113.4 O 183. L. Ar. 147.
book 124.1 ἰχθῦς δ’ ὣς πείροντες ἀτερπέα δαῖτα φέροντο.
book 124.2 ) δῆλον ἐκ τούτου ὅτι ᾔδεσαν ἰχθύων τροφήν T. cf. ad
book 124.3 β 368. Π 747.
book 150.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.

*) [ἡ διπλῆ ὅτι πτῶσις ἐνήλλακται] διὰ δρυμῶν πυκνῶν καὶ τῆς ὕλης Q. F. Ar. 21.

ἐπεὶ ἴδον αἴθοπα καπνόν.

) Ἀρίσταρχος τὸν ἐκ τοῦ αἴθεσθαι, ὅ ἐστι καίεσθαι, ἀναδιδόμενον HQ. L. Ar. 151. Eust. αἴθοψ δὲ καπνὸς ὁ ἐκ τοῦ αἴθεσθαί τινα ὕλην ἀναδιδόμενος.

δὴ γάρ μιν.

Diple periestigmene, quod Zenodotus legit δὴν γάρ μιν H.

κατ’ ἄκνηστιν μέσα νῶτα.

) καταχρηστικῶς φησιν ὁ Ἀρίσταρχος ἐπὶ τῶν θηρίων εἶναι τὴν ἄκνηστιν. οὐ γὰρ αὐτὴν μόνην ἀδυνατοῦσι κνήσασθαι, ἀλλὰ καὶ τὴν ὀσφῦν καὶ τὸν τράχηλον. δεῖ γινώσκειν ὅτι αὐτὸς ἐπεξηγεῖται τί ἐστιν ἄκνηστις διὰ τοῦ εἰπεῖν μέσα νῶτα, ἤτοι ἡ ῥάχις, ἢ τὰ μέσα τῶν τετραπόδων, παρὰ τὸ μὴ δύνασθαι κνήσασθαι HQ.

βῆν δὲ καταλοφάδειαν φέρων.

Ad K 573 Ar. vocabulum καταλοφάδεια interpretatus est: καταλοφάδειαν (sic) ἀντὶ τοῦ κατὰ τὸν τένοντα. L. Ar. 150.

ὦ φίλοι, οὐ γάρ πω.

*) [ἡ διπλῆ ὅτι] ἀπὸ τοῦ γὰρ ἤρξατο HQ. cf. P 220. α 337. δ 722. κ 501.

κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι.

Versum 189 Callistratus a grammatico quodam, qui nullam illius Homeri consuetudinis ἀπὸ τοῦ γὰρ ἄρχεσθαι cognitionem habuerit, insertum esse dicit cf. in H. Καλλίστρατός φησιν ὡς ὑπό τινος ὁ στίχος προτέτακται ἀγνοοῦντος τὸ Ὁμηρικὸν ἔθος, ὡς θέλει ἄρχεσθαι ἀπὸ τοῦ γάρ. Aristarchus versum non legisse videtur, nam P 220 diplam posuit propter hunc Homeri usum et citavit v. 190 ob eandem causam.

ὦ φίλοι, οὐ γάρ τ’ ἴδμεν ὅπῃ ζόφος οὐδ’ ὅπῃ ἠώς,
οὐδ’ ὅπῃ ἠέλιος φαεσίμβροτος εἶς’ ὑπὸ γαῖαν,
οὐδ’ ὅπῃ ἀννεῖται.

) ἐκ τούτων ἐκτετοπισμένη φαίνεται ἡ πλάνη τοῦ Ὀδυσσέως BQT. cf. L. Ar. 247. δ 556.

Refutatio fuit Cratetis, qui quatuor coeli regiones Homero notas fuisse ex hoc loco contendit. Aristarchus recte eum duas modo orientem et occasum novisse docuit. cf. schol. ad β 1.

ἠῶς σημαίνει καὶ τὴν ἡλίου πάροδον, καὶ τὸν τόπον ὅθεν ἀνα-
book 190.10.1 τέλλει ὁ ἥλιος κατὰ Ἀρίσταρχον· Sequuntur vs. 190—92. νῦν
book 190.10.2 γάρ, καθά φησιν ὁ Κράτης, τῶν τεσσάρων τοῦ κόσμου μέμνη-
book 190.10.3 ται μερῶν, ἄρκτου, μεσημβρίας, ἀνατολῆς καὶ δύσεως κ.τ.λ.
book 190.10.4 L. Ar. 174.
book 193.1 —ἐγὼ δ’ οὐκ οἴομαι εἶναι. —
book 193.2 ) τοῦτο εἶναι διὰ μέσου φησὶν Ἀρίσταρχος ὡς ἂν ἀπαλ-
book 193.3 γήσαντος τοῦ Ὀδυσσέως ἰδίᾳ ἀναπεφωνῆσθαι HQ. cf. Π 46.
book 193.4 α 18.
book 210 εὗρον δ’ ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης.
book 212.1 ἀμφὶ δέ μιν ...
book 212.2 ) ἀπὸ τοῦ πληθυντικοῦ τοῦ δώματα (210) πρὸς ἑνικὸν
book 212.3 τὸ δῶμα ὑπήντησεν, ὡς τὸ „ἐξ ἑτέρων ἕτερ’ ἐστίν“ (ρ 266).
book 212.4 εἶτα ἐπιφέρει „οὐκ ἄν τίς μιν ἀνήρ“ Q. cf. F. Ar. 32.
book 238.1 ῥάβδῳ πεπληγυῖα.
book 238.2 Fuit diple ὅτι παθητικῶς πεπληγυῖα ἀντὶ τοῦ πλήσσουσα.
book 238.3 cf. ad O 730 ubi hic versus sic explanatur. Perfectum secun-
book 238.4 dum enim non ad activum sed ad medium (Ar. παθητικὸν) per-
book 238.5 tinere veteres statuerunt. cf. F. Ar. 3.
book 239.1 καὶ δέμας.
book 239.2 Diple periestigmene, quod Zenodotus legit καὶ πόδας cf. H.
book 240.1 αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ.
book 240.2 *) [ἡ διπλῆ] πρὸς τὴν ἑξῆς ἀθέτησιν (329), ὅτι τὸ σῶμα
book 240.3 μόνον ἠλλοιοῦτο, ἡ δὲ ψυχὴ ἔμενεν ἀμετάβλητος. πῶς οὖν ἂν
book 240.4 λέγοι „σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν“ (329),
book 240.5 ὡς καὶ τοῦ νοῦ ἠλλοιωμένου; HQT.
book 242.1 πάρ ῥ’ ἄκυλον βάλανόν τ’ ἔβαλεν καρπόν τε
book 242.2 κρανείης.
book 242.3 Versum Aristarchus non legit cf. HQV. Ἀρίσταρχος οὐκ
book 242.4 οἶδε τὸν στίχον. ὁ δὲ Καλλίστρατος ἀντ’ αὐτοῦ γράφει „παν-
book 242.5 τοίης ὕλης ἐτίθει μελιηδέα καρπόν“.
book 268.1 οὔτε τιν’ ἄλλον || ἄξεις σῶν ἑτάρων.
book 268.2 ) Ἀρίσταρχος ἀντὶ τοῦ σῶον H.
book 271,n2.1 τῷδ’ ἐνὶ χώρῳ.
book 271,n2.2 ὡς τὸ „κλυτὸς Ἱπποδάμεια“ μετεσχηματισμένον B.
book 271,n2.3 Hoc qui scripsit χώρῳ pro χώρᾳ legit. Exemplo allato Ar. ex-
book 271,n2.4 plicare solebat, substantivis feminini generis adiici saepe adiectiva
book 271,n2.5 masculina cf. F. Ar. p. 31 et exempla ad β 214 collata.
book 307.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑρμείας μὲν ἔπειτ’ ἀπέβη.

book 307.2 Notatum fuit vocabulum ἔπειτα ἀντὶ χρονικοῦ, ἀντὶ τοῦ
book 307.3 μετὰ ταῦτα, cf. I 169 ubi sic explanatur noster versus.

book 320.1 ἔρχεο νῦν συφεόνδε, μετ’ ἄλλων λέξο ἑταίρων.
book 320.2 ) οὕτως Ἀρίσταρχος δισυλλάβως τὸ λέξο· ἄδηλον δὲ πό-
book 320.3 τερον κοιμῶ ἢ συναριθμοῦ H.
book 320.4 E Didymo et Aristonico manasse videtur. cf. L. Ar. 147.

book 328.1 ἀμείψεται ἕρκος ὀδόντων.
book 328.2 ) διαβῇ, παρέλθῃ. τὰ φάρμακα δηλονότι, ὡς τὸ „δοῦρα
book 328.3 σέσηπεν“ (B 135) Q.
book 328.4 Diple fuit, quod praeter consuetudinem verbi formam sin-
book 328.5.1 gularem construxit Homerus cum plurali neutrius φάρμακα (cf.
book 328.5.2 F. Ar. 15) et quod in verbo ἀμείψεται vocalis η correpta est (cf.
book 328.5.3 F. Ar. p. 13).

book 329.1 σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
book 329.2 ὁ Σιδώνιός φησιν ἀθετεῖσθαι τὸν στίχον H. Ab Aristarcho
book 329.3 expunctum esse versum manifestum est ex Ar. ad v. 240. De
book 329.4 Dionysio Sidonio ab Aristonico commemorato cf. ad M 36.
book 329.5 T 365.

book 351.1 οἵ τ’ εἰς ἅλαδε προρέουσιν.
book 351.2 ) οἵ τε ἅλαδε, οὕτω γράφει Ζηνόδοτος (corr. Duentzer
book 351.3 p. 83, cod. οἵτ’ εἰς ἅλαδε lemma, et οὔτε γρ. Z.), Ἀρίσταρχος
book 351.4 δὲ οἳ εἰς ἅλαδε. περισσὴ δέ ἐστιν ἡ εἰς HQ. (Buttmanni con-
book 351.5.1 iectura acutissima pro codd. εἰς ἅλα· δεύτερον). Didymi et
book 351.5.2 Aristonici verba coaluerunt, de praepositione εἰς superflua cf.
book 351 F. Ar. p. 27 et 28.

book 354.1 ἡ δὲ ἑτέρη.
book 354.2 *) ὅτι τὸ ἑτέρη ὑγιῶς ἐπὶ τῆς δευτέρας H. cf. I 313.
book 354.3 M 93.

book 409.1 οἴκτρ’ ὀλοφυρομένους.
book 409.2 ) οἰκτρῶς καὶ ἐλεεινῶς ὀδυρομένους H. cf. F. Ar. 29.
book 409.3 α 209 et exempla ibid.

book 440.1 ἀποπλήξας κεφαλήν.
book 440.2 ἀντὶ τοῦ ἀποκόψας ex Ψ 120 hic posui, ubi Ar. sic inter-
book 440.3 pretatur hunc locum. Altera lectio erat ἀποτμήξας, quam Ze-
book 440.4 nodoti esse colligam ex schol. Σ 34. cf. Eust. 1664, 31. L. Ar.
book 440.5 13. Λ 146. Did.

book 471.1 καὶ τότε μ’ ἐκκαλέσαντες.
book 471.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

*) [ἡ διπλῆ ὅτι] ὁ καὶ περισσός BQ. cf. F. Ar. 34. α 33.

book 495.1 τοὶ δὲ σκιαὶ ἀίσσουσιν.
book 495.2 ) ἀντὶ τοῦ αἱ ψυχαί· ὁ μέντοι ποιητὴς πρὸς τοὺς ἄλλους
book 495.3 νεκροὺς ποιεῖται τὴν σύγκρισιν ἐν τῷ „οἱ δὲ ἄλλοι νεκροὶ ὡς
book 495.4 σκιαὶ ἀίσσουσιν“ BQT. cf. F. Ar. p. 30.
book 501.1 ὦ Κίρκη, τίς γάρ.
book 501.2 *) [ἡ διπλῆ ὅτι] ἀπὸ τοῦ γὰρ ἤρξατο H. cf. α 337 et
book 501.3 exempla ibid.
book 509.1 ἐνθ’ ἀκτή τε λάχεια.
book 509.2 Fuit diple periestigmene, quod Zenodotus scripsit ἐλάχεια
book 509.3 cf. BHQT: βαθεῖα, εὔγεως, εὔσκαφος. οὐ δεῖ δὲ γράφειν ἐλάχεια
book 509.4 (sic Zenod. cf. ι 116), οὐ γὰρ εἰκὸς ἐλάχιστον ἀκούειν τῆς Περ-
book 509.5.1 σεφόνης τὸ τέμενος. οὐκ ἄτοπον δὲ περὶ τὴν ἀκτὴν εἶναι
book 509.5.2 ἄλσος. πολλὰ γὰρ εὕροι τις ἂν ἄλση ἐπιθαλάσσια.
book 510.1 ἰτέαι ὠλεσίκαρποι.
book 510.2 ) σημείωσαι ὅτι ἄκαρπα φυτὰ εἶπεν εἶναι ἐν τῷ ἄλσει
book 510.3 τῆς Περσεφόνης, διὰ τὸ νεκροῖς προσήκειν BQ.
book 513.1 ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
book 513.2 Κωκυτός τε
book 513.1 ) τὸ ἑξῆς, ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε καὶ
book 513.2 Κωκυτὸς ῥέουσι· τὸ δὲ σχῆμα καλεῖται προδιεζευγμένον, ὅταν
book 513.5.1 τὸ μεταξὺ δύο ὀνομάτων ἑνικῶν πληθυντικὸν τεθῇ ῥῆμα· τοῦτο
book 513.5.2 καλεῖται Ἀλκμανικὸν οὐχ ὅτι Ἀλκμὰν πρῶτος αὐτῷ ἐχρήσατο,
book 513.5.3 ἀλλ’ ὅτι πολύ ἐστι παρ’ αὐτῷ, οἷον „Κάστωρ ὠκέων πώλων
book 513.5.4 ἐλατῆρες καὶ Πολυδεύκησ“. ὅμοιον δέ ἐστι τὸ σχῆμα „εἰ δέ
book 513.5.5 κ’ Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων“ (Ψ 138) καὶ „ἔνθα
book 513.10 ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδροσ“ (Ε 774) HQ. cf.
book 513 Ar. ad Ψ 138, ubi citatur noster versus, et Ε 774.
book 7.1 ἵκμενον οὖρον ἵει .. ἐσθλὸν ἑταῖρον.
book 7.2 *) [ἡ διπλῆ ὅτι ἑταῖρον οὐ φίλον λέγει, ἀλλὰ] νῦν τὸν
book 7.3 συνεργόν V.
book 7.4 cf. ad N 456, ubi diple etiam propter nostrum locum. L.
book 7.5 Ar. 116.
book 11.1 ποντοπορούσης.
book 11.2 ) δῆλός ἐστιν ὁ ποιητὴς διὰ τὸ ποντοπορούσης Ὠκεανὸν
book 11.3 καλῶν τὴν ἔξω θάλασσαν. ἀλλαχοῦ δὲ ποταμὸν τὸν Ὠκεανὸν
book 11.4 καλεῖ διὰ τὸ ῥοῶδες BQ. cf. L. Ar. 174. Eust. 1670, 33.
book 26.1 χοὴν χεόμην.
book 26.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Diple periestigmene propter Zenodoti lectionem χεάμην fuit cf. H.

ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων
νύμφαι τ’ ἠίθεοί τε πολύτλητοί τε γέροντες,
παρθενικαί τ’ ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι·
πολλοὶ δ’ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,
ἄνδρες ἀρηίφατοι βεβροτωμένα τεύχε’ ἔχοντες.
οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος
θεσπεσίῃ ἰαχῇ. ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.

*) οἱ [ἕξ] καὶ παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει [προ] ἠθετοῦντο ὡς ἀσύμφωνοι πρὸς τὰ ἑξῆς. οὐ γὰρ μεμιγμέναι παραγίνονται αἱ ψυχαί. νῦν δὲ ὁμοῦ νύμφαι, ἠίθεοι, γέροντες, παρθένοι. καὶ ἄλλως οὐδὲ τὰ τραύματα ἐπὶ τῶν εἰδώλων ὁρᾶται, ὅθεν ἐρωτᾷ „τίς νύ σε κὴρ ἐδάμασσε; (398) τὸν Ἀγαμέμνονα HQ.

Numerum expunctorum versuum posui ex schol. in V. M. Vind. 56. 133 (cf. La Roche). Sic etiam Eust. 1672, 34. Obelis notati sunt versus in CG.

οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·
σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς
ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε.

Versus expunxit Callistratus cf. in HQ: εἰ ἀποφαίνεται νῦν περὶ τοῦ θανάτου αὐτοῦ, πῶς ἑξῆς διστάζων φησὶ „πῶς ἦλθες ὑπὸ ζόφον;“ διὸ ὁ Καλλίστρατος ἀθετεῖ. La Roche p. 235 Aristarchum etiam hos versus damnasse colligit ex Aristonici adnotatione ad Ψ 73. Sed hoc est notatum propter extremam Od., ubi statim nondum sepulti ad inferos perveniunt cf. L. Ar. 174. Aristarchus si in athetesi hac caussa movebatur, non hos duos modo versus, sed totum locum 52—83 damnare debebat, quia Elpenor nondum sepultus tamen apud inferos est et ab Ulixe exsequias petit. Quid Aristarchus de hoc loco statuerit, non est servatum, sed hoc est certum, illum v. 52—54 non expunxisse propter eam caussam, quam La Roche affert.

νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρός τ’ ἀλόχου καὶ πατρός.

λείπει ἡ πρός, ἵν’ ᾖ πρὸς τῶν οὐ παρεόντων νῦν, ἀλλὰ καταλειφθέντων εἰς τὴν ἡμῶν οἰκίαν HQ. Quod de praepositione omissa dicitur, fluxit fortasse ex Ar.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχὴ μητρὸς κατατεθνηυίης.
book 84.2 *) ὅτι πρὸς τὸ ἐκ τῆς περιφράσεως νοούμενον ἀπήντησε.
book 84.3 ψυχὴ γὰρ μητρὸς κατατεθνηκυίας ἐστὶν ἡ Ἀντίκλεια BQ.
book 90.1 ψυχὴ Θηβαίου Τειρεσίαο.
book 90.2 *) ὅτι πάλιν πρὸς τὸ ἐκ τῆς περιφράσεως νοητὸν ἀπήν-
book 90.3 τησε. ψυχὴ γὰρ Θηβαίου Τειρεσίου ἐστὶν ὁ Τειρεσίας. διὸ
book 90 ἐπήνεγκεν ἔχων, οὐκ ἔχουσα HQ.
book 93.1 Fuit diple periestigmene, quod Zenodotus dedit τίπτ’
book 93.2 αὔτως pro τίπτ’ αὖτ’ ὦ cf. H.
book 105.1 αἴ κ’ ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν.
book 105.2 *) [ἡ διπλῆ ὅτι τὸ αἴ κ’ ἐθέλῃς ἀντὶ τοῦ] ἐὰν δύνῃ V.
book 105.3 cf. Φ 366. L. Ar. 148. γ 121. θ 223. ο 317.
book 107.1 ἰοειδέα πόντον.
book 107.2 Ar. interpretatio vocabuli ἰοειδέα est ad Ψ 850 ἀντὶ τοῦ
book 107.3 μέλανα πόντον.
book 115.1 δήεις δ’ ἐν πήματα οἴκῳ,
book 115.2 ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσιν.
book 115.3 *) ὅτι οὐκ ἐνήλλακται ὁ χρόνος ὡς τὸ „σύν τε μεγάλῳ
book 115.4 ἀπέτισαν“ (Δ 161, ubi Zenodotus τίσουσιν scripsit). οὐ γὰρ
book 115.5.1 ἦσαν οἱ μνηστῆρες συνηγμένοι εἰς τὸν οἶκον Ὀδυσσέως H.
book 115.5.2 Aristophanes legit κατέδοιεν cf. ad β 313.
book 125.1 Diple fuit πρὸς τὸ σχῆμα „οὐδ’ εὐήρε’ ἐρετμά, τά τε
book 125.2 πτέρα νηυσὶ πέλονται“, πέλονται ἀντὶ τοῦ πέλεται cf. ad K 351
book 125.3 ubi noster versus notatur, η 132. κ 328.
book 134.1 θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ.
book 134.2 ) ἔξω τῆς ἁλός· οὐ γὰρ οἶδεν ὁ ποιητὴς τὰ κατὰ τὸν Τη-
book 134.3 λέγονον· καὶ τὰ κατὰ τὸ κέντρον τῆς τρυγόνος Q.
book 134.4 cf. ad Λ 163 ubi eadem est interpretatio. F. Ar. p. 28.
book 134.5 Ψ 281.
book 157-9.1 μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ
book 157-9.2 ῥέεθρα,
book 157-9.3 Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι
book 157-9.4 πεζὸν ἐόντ’, ἢν μή τις ἔχῃ εὐεργέα νῆα.
book 157-9.5.1 ) ἀθετοῦνται τρεῖς H. Caussas affert MV Vind. 56 sed
book 157-9.5.2 valde mutilatas: τὸ γὰρ ἑξῆς, μέσον Ὠκεανός. γέλοιον δὲ καὶ
book 157-9.5.3 πεζὸν ἐόντα. Obeli sunt in G, cf. La Roche p. 240. Nitzsch
book 157-9.5.4 III, 214.
book 161-2.1 νηί τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω
book 161-2.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦλθες εἰς Ἰθάκην, οὐδ’ εἶδες ἐνὶ μεγάροισι γυναῖκα;

Nota fuit de Aristophanis athetesi versuum 161—62 cf. H.

Τηλέμαχος τεμένεα νέμεται.

) σεσημείωται τὸ ὄνομα ἀδιαιρέτως ἐξηνεχθέν HQ. cf. ad B 423 BL. Legit igitur Ar. τεμένη et fallitur H: Ἀρίσταρχος τεμένεα.

ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροὶ εἵματα εἷται·

*) ὅτι τὴν ἀπὸ τῆς ἐσχάρας σποδὸν κόνιν εἴρηκεν H. cf. ad Σ 23.

Praeterea Zenodoti lectio ἧσται notata fuit. cf. H.

ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ’ Ὀδυσσεῦ,
σή τ’ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.

*) ὅτι οὐχ ὡς οἱ νεώτεροί φασιν, αὐτὴν ἀπάγξασθαι παρὸ Ναυπλίου πεπυσμένην τὴν Ὀδυσσέως τελευτήν. οἳ διεσφάλησαν ὑπὸ τοῦ λεγομένου παρὰ τοῦ συβώτου ὡς „ἀπώλετο λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅστις ἔμοιγε ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι“ (ο 359). διαρρήδην γὰρ νῦν ὁμολογεῖ τεθνηκέναι ἕνεκα τοῦ ποθεῖν τὸν Ὀδυσσέα HQ. cf. V ad 197.

*) ὅτι οὐχ ὑποτίθεται ἀσεβῆ τὸν Σαλμωνέα, ὡς οἱ νεώτεροι. οὐ γὰρ εὐπατέρειαν ἂν τὴν Τυρὼ εἶπεν οὐδὲ ἀμύμονος πατρός QT.

(Enipeus) ὃς πολὺ κάλλιστος ποταμῶν.

*) ἐναντίον εἶναι δοκεῖ τοῦτο τῷ „Ἀξίου, οὗ κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν“ (Φ 158). εἰ γὰρ κάλλιστος οὗτος πάντων, οὐκ ἄρα ἐκεῖνος. λύεται δὲ κατὰ λέξιν. τὸ γὰρ κάλλιστον οὐχ ἓν λέγεται, ἀλλὰ πλείω. δηλοῖ δὲ καὶ αὐτὸς ποτὲ μὲν λέγων „Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην“, (Z 252) ποτὲ δὲ „ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην Κασάνδρην“ (N 365). καὶ μὴν καὶ ἀμφότεραι τοῦ Πριάμου θυγατέρες, καὶ ἐὰν ἡ μία θυγατρῶν εἶδος ἀρίστη, οὐκ ἄρα τις ἄλλη, ἀλλ’ ὅμως καὶ ἐπὶ τῶν δύο τοῦτό φησι HQT, cf. N 365.

F. Ar. 31.

λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ’ ὕπνον ἔχευεν.

*) ἀθετεῖται. πρὸς τί γὰρ τῇ ἐρώσῃ καὶ ἑκουσίως βουλομένῃ μιγῆναι κατέχευεν ὕπνον; Ζηνόδοτος δὲ ἀγνοεῖ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στίχον H.
book 249.1 τέξεις ἀγλαὰ τέκνα.
book 249.2 Diple periestigmene, quod Zenodotus κακῶς τέξεαι cf. H.
book 249.3 Media enim forma Homerus de patre aut de ambobus parenti-
book 249.4 bus utitur. L. Ar. 155.
book 258.1 τοὺς δ’ ἑτέρους Κρηθῆϊ τέκεν.
book 258.2 ) καλῶς τοὺς ἑτέρους· δύο γὰρ ἦσαν γένη παίδων, τὸ μὲν
book 258.3 ἐκ Ποσειδῶνος, τὸ δὲ ἐκ Κρηθέως Q. cf. κ 354.
book 260,n2.1 Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα.
book 260,n2.2 ὁ μὲν ποιητὴς Ἀσωποῦ, οἱ δὲ τραγικοὶ Νυκτέως MH. Fluxit
book 260,n2.3 fortasse ex Ar.
book 263,n3.1 οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν (Amphion et Zethus)
book 263,n3.2 ὅτι οἱ περὶ Ἀμφίονα ἐτείχισαν τὰς Θήβας διὰ τὸ δεδοικέναι τοὺς
book 263,n3.3 Φλεγύας. μετὰ δὲ τελευτὴν αὐτῶν κατασκαφείσης τῆς πόλεως ὑπὸ
book 263,n3.4 Εὐρυμάχου τοῦ Φλεγυῶν βασιλέως, Κάδμος ὕστερον ἐλθὼν ἀνέκτισε
book 263,n3.5.1 τὴν Θήβην Q. Fortasse fluxit ex Ar., qui aetate posteriorum poeta-
book 263,n3.5.2 rum fabulas ab Homero discrepantes notare solebat.
book 271,n4.1 μητέρα τ’ Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην,
book 271,n4.2 παρὰ τοῖς τραγικοῖς Ἰοκάστην V.
book 271,n4.3 Fluxit fortasse ex Ar. cf. ad 263 not. 3.
book 275.1 (Oedipus) ἀλλ’ ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα
book 275.2 πάσχων
book 275.3 Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς.
book 275.4 *) [ἡ διπλῆ ὅτι] ἀγνοεῖ τὴν τύφλωσιν καὶ τὴν φυγὴν Οἰ-
book 275.5.1 δίποδος. καὶ ἐν Ἰλιάδι (Ψ 678) γράφει αὐτὸν ἐν Θήβῃ τετε-
book 275.5.2 λευτηκέναι· „Μηκιστέως υἱὸς Ταλαϊονίδαο ἄνακτος, ὅς ποτε
book 275.5.3 Θήβασδε ἦλθε δεδουπότος Οἰδιπόδαο“. BHQ.
book 275 cf. ad Ψ 678. L. Ar. 186.
book 286.1 ἣ δὲ Πύλου βασίλευε, τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
book 286.2 Νέστορά τε Χρομίον τε Περικλύμενόν τ’ ἀγέρωχον.
book 286.3 ) ἐναντία φαίνεται ταῦτα τῷ „δώδεκα γὰρ υἷες ἦμεν“
book 286.4 (Λ 692). τρεῖς γὰρ εἴρηνται νῦν. λύοιτο δ’ ἂν ἐκ τῆς λέξεως·
book 286.5.1 ἐνταῦθα γὰρ ἐκ τῆς Χλωρίδος τρεῖς γενέσθαι τῷ Νηλεῖ φησι.
book 286.5.2 τί οὖν ἐκώλυε καὶ ἐξ ἑτέρων ἔχειν τοὺς λοιπούς; H.
book 286.5.3 Fuit diple πρὸς τοὺς χωρίζοντας cf. ad Λ 692.
book 300.1 ἥ ῥ’ ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε.
book 300.2 *) ὅτι οὐ παραδίδωσιν ἐκ Διὸς Κάστορα καὶ Πολυδεύκην,
book 300.3 ἀλλ’ ἐστὶ νεωτερικὰ ταῦτα H.
book 315-6.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὄσσαν ἐπ’ Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ

book 315-6.2 ἐπ’ Ὄσσῃ

book 315-6.3 Πήλιον εἰνοσίφυλλον, ἵν’ οὐρανὸς ἀμβατὸς εἴη.

book 315-6.4 *) ἀθετοῦνται ὡς ἀδύνατοι V. cf. L. Ar. 171. Eust.

book 315-6.5 1687, 28.

book 326.1 Notatum fuit Homero ignotum esse Eriphylam per fi-

book 326.2 lium interiisse cf. L. Ar. 184. γ 309—10. ο 248.

book 350.1 ξεῖνος δὲ τλήτω.

book 350.2 ) ὁ δὲ παραπληρωματικῶς κεῖται οὐδὲν σημαίνων HQ.

book 350.3 cf. F. Ar. 33. β 6 et exempla ibid.

book 353.1 μάλιστα δ’ ἐμοί. τοῦ γὰρ κράτος.

book 353.2 ) δεικτικῶς ἀντὶ τοῦ ἐμοῦ οὗτινος ἰσχύς ἐστιν ἐν τῷ δήμῳ

book 353.3 BQ. cf. F. Ar. p. 30.

book 364.1 οἷά τε πολλούς.

book 364.2 Diple periestigmene fuit contra Zenodotum, cf. Didymum:

book 364.3 πολλούς· οὕτως Ζηνόδοτος· ὁ δὲ Ἀρίσταρχος πολλούς. Zeno-

book 364.4 dotum πολλά scripsisse monet La Roche, aliter Duentzer, l. c.

book 364.5.1 p. 73, qui πολλά Aristarcho, πολλούς Zenodoto tribuit. Verba

book 364.5.2 Didymi, quae prima specie non sibi constare videntur, olim in

book 364.5.3 codice scripta fuisse existimat, cuius in textu πολλά ferebatur.

book 379.1 ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.

book 379.2 ) ὁ μὲν Ἀρίσταρχος ἐν τῷ καθόλου, ὁ δὲ Σιδώνιος ἐλ-

book 379.3 λειπτικῶς· ὥρη μὲν πολέων μύθων παύσασθαι, ὥρη δὲ ὕπνου

book 379 μνήσασθαι HT.

book 399-403.1 Fuit nota de Aristophanis athetesi versuum 399

book 399-403.2 —403 cf. in H: οἱ ἠὲ (i. e. versus ab ἠὲ incipientes et qui ab

book 399-403.3 iis pendent, sc. 399—403 Porson.) ἀθετοῦνται ὑπὸ Ἀριστοφά-

book 399-403.4 νους ὡς ἀπὸ τῶν εἰρησομένων (406—8) μετενεχθέντες.

book 410.1 (Aegisthus) ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ οἰκόνδε

book 410.2 καλέσσας || δειπνίσσας.

book 410.3 *) ὅτι τῇ ἐπιβουλῇ κἀκείνη συνέγνω· τὸν γὰρ χιτῶνα καὶ

book 410.4 τὸν πέλεκυν Ὅμηρος οὐκ οἶδεν Q. Praeterea notata erat forma

book 410.5 verbi ἔκτα cf. ad O 432.

book 428,n5.1 ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται.

book 428,n5.2 ἐν πολλοῖς οὐ φέρεται ὡς ἐκλύων τὸν θυμὸν, οὐ γὰρ ὅτι πρὸς

book 428,n5.3 θεραπείαν Ἀρήτης ὁ Ὀδυσσεύς· οὐ γὰρ ἀναγκαῖον τῷ ὑποκρινομένῳ

book 428,n5.4 τὸ πρόσωπον Ἀγαμέμνονος περιίστασθαί τι εἰπεῖν H.

book 430.1 κουριδίῳ τεύξασα πόσει φόνον.

book 430.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

*) ὅτι κουρίδιον αὐτόν φησιν. ἔνιοι γὰρ γεγαμῆσθαι τὴν Κλυταιμνήστραν Ταντάλῳ, ὡς Εὐριπίδης (Iphig. Aul. 1149) εἰσάγει αὐτὴν λέγουσαν „ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανών“ Q. cf. H 392. Eust. 1693, 10.

ὣς ἔφατ’· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσ-
έειπον·
ὢ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλάς
ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ’ εἵνεκα πολλοί,
σοὶ δὲ Κλυταιμνήστρα δόλον ἤρτυε τηλόθ’ ἐόντι.
ὣς ἐφάμην, ὁ δέ μ’ αὐτίκ’ ἀμειβόμενος προσέειπε·
τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι
μήθ’ οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ’ εὖ εἰδῇς.

Obeli sunt appicti in M, et ex cod. H sequitur, Aristophanem eos expunxisse. Dindorfius solos versus 435—40 pro spuriis habet. Num Aristarchus Aristophanem secutus sit, non manifestum est.

πάρος δέ με πέφνε καὶ αὐτόν.

*) [ἡ διπλῆ ὅτι] περιττὸς ὁ καί H. cf. α 33 et exempla ibid.

ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσι
κρύβδην, μηδ’ ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.

οὐδὲ οὗτοι ἐφέροντο ἐν τοῖς πλείστοις ὡς μαχόμενοι τοῖς προκειμένοις H. Vind. 133.

Annotatio loco alieno posita spectat ad v. 454—56. Sic Bekkerus, qui eos in textum non recepit.

οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.

*) ἀθετεῖται διὰ τὸ εὔηθες. εἰ γὰρ ἐπέπειστο ὅτι οὔπω τέθνηκε, πρός τί ἐρωτᾷ „ἤ που ἔτι ζώοντος ἀκούετε; H.

Hic posui, non ut Dindorf. ad v. 458.

ἀν’ Ἑλλάδα τε Φθίην τε.

) σημείωσαι μόνην τὴν Θετταλίαν (cod. Φθίαν) Ἑλλάδα λέγειν τὸν Ὅμηρον καὶ Ἕλληνας μόνους τοὺς ἐνοικοῦντας αὐτῇ. τοὺς δὲ ἐν ἄλλοις τόποις οἰκοῦντας Ἀργείους κικλήσκει καὶ Ἀχαιούς B. cf. L. Ar. 227. α 344. δ 726. ο 80.

οὐ γὰρ ἐγὼν ἐπαρωγός.

Diple periestigmene fuit propter Zenodoti lectionem: εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἐγών. cf. H. Vind. 133.

book 501.1 εἰ τοῖος δέ.

book 501.2 *) [ἡ διπλῆ ὅτι] τὸ δὲ ἀντὶ τοῦ γὰρ, εἰ τοῖος γάρ H. cf.

book 501.3 F. Ar. 35. β 6.

book 510.1 ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλάς.

book 510.2 ) τρισυλλάβως τὸ Τροΐην, ὡς καὶ Ἀρίσταρχός φησι. Vind.

book 510.3 133. cf. A 129. ε 39.

book 517 πάντας δ’ οὐκ ἂν ἐγὼ μυθήσομαι

book 517.1 ὅσσον λαὸν ἔπεφνεν.

book 517.2 *) [ἡ διπλῆ ὅτι] πρὸς τὸ σημαινόμενον ἀπέδωκε πάντας,

book 517.3 ὅσσον λαόν H.

book 517.5.1 Constructio quae dicitur ad sensum saepius notatur cf. F.

book 517.5.2 Ar. p. 32.

book 521.1 πολλοὶ δ’ ἀμφ’ αὐτὸν ἑταῖροι || κήτειοι κτείνοντο.

book 521.2 ) κήτειοι τοὺς μεγάλους ἀκουστέον παρὰ τὸ κῆτος, ὡς

book 521.3 καὶ Ἀρίσταρχος BHQ. Eust. 1697, 19. 26.

book 521.4 Lehrsius Ar. p. 153 testimonio diffidit, non quia putat ety-

book 521.5.1 mologiae rationem Aristarchi esse non posse, sed quod parum

book 521.5.2 elegans ἑταῖροι μεγάλοι κτείνοντο ἀμφ’ αὐτόν.

book 525.1 ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ’ ἐπιθεῖναι.

book 525.2 ) περιγραπτέον ὡς ἀπρεπῆ. θυρωροῦ γὰρ ἔγρον H. Ἀρί-

book 525.3 σταρχος οὐκ οἶδε τὸν στίχον, ἔνια δὲ τῶν ὑπομνημάτων H.

book 525.4 ἔνια Porsonus pro ἐνί, post quod lacunam indicavit La Roche.

book 547.1 παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.

book 547.2 ἀθετεῖ Ἀρίσταρχος H. cf. Nitzsch III, 300.

book 547.3 ) Νοθεύεται μέχρι τοῦ „ὣς εἰπὼν ὁ μὲν αὖθις ἔδυ δό-

book 547.4 μον Ἄιδος εἴσω“ (627). καίτοι οὐκ ὄντες ἀγενεῖς περὶ τὴν

book 547.5.1 φράσιν. ὑπὲρ δὲ τῆς ἀθετήσεως αὐτῶν λέγεται τοιάδε· (H)

book 547.5.2 πῶς οἶδε τούτους ἢ τοὺς λοιποὺς ἔσω τῶν Ἅιδου πυλῶν ὄντας

book 547.5.3 καὶ τῶν ποταμῶν; HT. cf. schol. Pind. Ol. 1, 97, ubi Ari-

book 547.5.4 starchi athetesis huius loci commemoratur.

book 547.5.5 De atheteseos initio plane non liquet. Buttmannus posuit

book 547.10.1 numeros 568—627. Sed monet Lehrsius Ar. p. 156 nihil im-

book 547.10.2 pedire, quo minus etiam v. 565—567 inter spurios referantur, in

book 547.10.3 quibus ὅμως v. 565 offensioni sit.

book 570.1 (Μίνωνα) ἥμενον· οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο

book 570.2 ἄνακτα

book 570.3 ἥμενοι ἑσταότες.

book 570.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

) οὐκ ἄρα ὑπεξῆλθεν ὁ Μίνως ἵνα συνοφθῇ. ἄλογον γὰρ
book 570.5 τὸ καὶ σὺν δικαζομένοις καὶ αὐτῷ δίφρῳ ἐξελθεῖν HQT.
book 573.1 (Ὠρίωνα) .. τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰνοπόλοι-
book 573.2 σιν ὄρεσσι.
book 573.3 ) οὐδὲ ἐπὶ τούτου τετήρηται τὸ σύμφωνον. ἄλογον γὰρ
book 573.4 τὸ ἐν Ἅιδου κυνηγετεῖν· πῶς τε ἅμα τῇ τῶν θηρῶν ἀγέλῃ
book 573.5 προῆλθε, καὶ διὰ τί; HT.
book 577.1 (Τιτυὸν) κείμενον ἐν δαπέδῳ· ὃ δ’ ἐπ’ ἐννέα κεῖτο
book 577.2 πέλεθρα.
book 577.3 ) καταγέλαστα καὶ ταῦτα, εἰ κατεστρωμένος ἐν τῷ δαπέδῳ
book 577.4 προῆλθεν ἐπὶ τὸ σφάγιον· αὐτὸς γὰρ ὁ Ὀδυσσεὺς οὐκ ἠδύνατο
book 577.5 διαβῆναι ἐπὶ τὸ ἔρεβος QT.
book 579.1 δέρτρον ἔσω δύνοντες.
book 579.2 ) Ἀρίσταρχος τὸ δέρμα καὶ πάντα τὸν χρῶτα τὸν πρὸ
book 579.3 τοῦ ἥπατος. Etym. M. 257, 30.
book 580.1 Λητὼ γὰρ ἕλκησε.
book 580.2 ) πόθεν ᾔδει τῶν κολάσεων τὰς αἰτίας; οὐ γὰρ ἤκουσεν.
book 580.3 (εἰ μὴ φησί τις εἶναι τοῦτο κατὰ τὴν Ἑλλάδα φήμην) H.
book 581.1 διὰ καλλιχόρου Πανοπῆος.
book 581.2 *) ὅτι κατὰ τὸ ἀρσενικὸν ἐσχημάτισται ὁ Πανοπεύς, ὡς
book 581.3 βασιλεὺς καὶ βασιλῆος H. cf. ad B 520, observatum propter
book 581.4 Zenodoti lectionem Πανοπτέων.
book 584.1 στεῦτο δὲ διψάων.
book 584.2 *) [ἡ διπλῆ ὅτι τὸ στεῦτο] νῦν ἀντὶ τοῦ ἵστατο ἐπὶ τῶν
book 584.3 ποδῶν. κέχρηται δὲ τῇ λέξει ὁ διασκευαστὴς παρὰ τὴν τοῦ
book 584.4 ποιητοῦ συνήθειαν V et partim B.
book 584.5.1 Ar. enim observavit hoc verbum in animum inducere, nun-
book 584.5.2 quam stare significare (cf. L. Ar. 98) et hoc quidem respiciens
book 584.5.3 ad nostrum locum cf. ad Σ 191. Φ 455 ubi est diple πρὸς τὰ
book 584.5.4 ἐν τῇ νεκυίᾳ ἀθετούμενα. De diasceuasta vide L. Ar. 334.
book 588 (Τάνταλος) ἀμφὶ δὲ ποσσὶ || γαῖα μέλαινα φάνεσκε,
book 588.1 καταζήνασκε δὲ δαίμων. || δένδρεα δ’ ὑψιπέτηλα
book 588.2 κατὰ κρῆθεν χέε καρπόν.
book 588.3 ) οὐδὲ οὗτος (Tantalus) δύναται σὺν λίμνῃ καὶ δένδροις
book 588.5.1 ἐξεληλυθέναι ἐπὶ τὸ σφάγιον, ἢ πῶς ἔξωθεν τὰ ἔσω ἐθεώ-
book 588.5.2 ρει; H.
book 593.1 καὶ μὴν Σίσυφον εἰσεῖδον.
book 593.2 ) πῶς δύναται σὺν τῷ λίθῳ καὶ τῇ ἀκρωρείᾳ ἐφ’ ᾗ ἀνε-
book 593.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κύλιε τὸν λίθον, ἥκειν ἐπὶ τὸ σφάγια; πῶς τε κολάζεται ὁ ἐν Ἰλιάδι (Z 153) κέρδιστος ὢν καὶ συνετώτατος; QT.

Cf. de Sisypho Ar. adnotationem ad Z 153. L. Ar. 117.

τὸν δὲ μετ’ εἰσενόησα βίην Ἡρακληείην.

) καὶ τοῦτο νεωτερικόν· οὐ γὰρ οἶδε τὸν Ἡρακλέα ἀπηθανατισμένον, οὐδὲ τὴν Ἥβην γεγαμημένην, ἀλλὰ πάρθενον. διὸ καὶ παρθενικὰ ἔργα ἀποτελεῖ· οἰνοχοεῖ γὰρ καὶ λούει HQT.

Athetesin demonstrat etiam Ar. ad E 905. Δ 2. Σ 117. γ 464.

βίην Ἡρακληείην || εἴδωλον· αὐτὸς δὲ μετ’ ἀθανάτοισιν θεοῖσιν
τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.

*) ὅτι εἰς τρία διαιρεῖ, εἰς εἴδωλον, σῶμα, ψυχήν· τοῦτο δὲ οὐκ οἶδεν ὁ ποιητής BQ.

